Jam quomodo in singulis civitatibus Aristoteles rem tractaverit, id fingere ratione summo philosopho digna, quam ex reliquiis demonstrare facilius est. Neque enim ullum majoris ambitus fragmentum transnatavit, sed minutissima tantum frustula grammaticorum maxime et lexicographorum diligentia nobis servata sunt. Quorum ex comparatione hoc tamen colligas, initium auctorem in singulis rebuspublicis fecisse ab exponendis civitatum initiis, populi originibus, fabulisque quæ cum his conjunctæ erant. Cujusmodi argumentis bona pars fragmentorum absumitur. Indole autem ab narrationibus logographorum atque Κτίσεων scriptorum nihil differunt. Eandem plane fabulæ illæ præ se ferunt simplicitatem atque antiqui ævi cruditatem; nullo criseos fuco, qualem Ephorus, alii iis adhibuerunt, adulteratæ sunt. Non excludunt hæc acre atque perspicax de iis rebus judicium; at indicia ejus in reliquiis nostris non occurrunt. Ceterum si genuinis politiis mixtæ sunt spuriæ, quod sane nihil mirarer, vestigia earum in iis maxime politiis agnoverim, in quibus de mythicis rebus longus sermo fuisse videtur.

Igitur ab civitatum initiis e terræ, soli, stirpis varietate repetendis profectus Aristoteles historiam earum exposuisse eatenus videtur, quatenus cum reipublicæ constitutione ejusque mutationibus conjuncta erat. Quæ quidem pars pro gravitate sua quasi cardo totius operis esse debuit. At reliquiæ nostræ de his sunt tenuissimæ; adeo ut plurima quæ eo spectent, e Politicorum opere advocanda sint. Ceterum quanta diligentia et ἀκριβείᾳ auctor versatus sit in recensendis rerumpublicarum institutis, magistratibus, œconomia et disciplina publica, re militari, commerciis, mensuris, nummis, et quæ huc alia pertinent, ex fragmentis reipubl. Atheniensium et Lacedæmoniorum (quibus præ ceteris adde fr. 99. 101. 116. 207. 212. 228. 232) intelligere adhuc licet. Haud minore cura mores vitæ privatæ persecutus fuerit. Notanda denique proverbiorum ex historia vel ex moribus institutisve explicandorum frequentia (fr. 110. 139. 143. 167 a. 168. 170. 176. 181. 193).

(*) Verbum φησὶ vel tale quid latere suspicatur Grasshof. in *Jahn's Jahrb.* 1829, p. 141. Conferri potest fr. 29 ex Harpocratione, ubi codex A Bekkeri habet : Ἀριστοτέλης ἐν τῇ α' Ἀθηναίων πολιτείᾳ.

ΠΟΛΙΤΕΙΑΙ.

I.

ΑΘΗΝΑΙΩΝ.

Epitome : Ion, Apollo πατρῷος, fr. 1 ; Theseus, fr. 2 ; Φυλαί, φρατρίαι, γένη, γεννῆται, fr. 3, 4. — Draco. *Judicia* φονικά : ἐφέται, δικαστήριον ἐπὶ Παλλαδίῳ, fr. 5 et 6 ; ἐπὶ Δελφινίῳ, fr. 7. — Solon : ναυκραρίαι, fr. 8 ; τὰ τέσσαρα τιμήματα, fr. 9. 10 ; κύρβεις, ἄξονες, fr. 11 ; τοῦ πρώτου ἄξονος lex de σιτήσει γυναικῶν καὶ ὀρφανῶν, fr. 12 ; ὅρκος πρὸς τῷ λίθῳ, quem senatus et thesmothetæ jurarunt Soloni, fr. 13 ; cineres Solonis ad Salaminem dispersi, fr. 14. — Pisistratus, fr. 15 ; Alcmæonidæ contra Pisistratidas belligerantes, fr. 16 ; Pisistratidæ oraculi et Lacedæmoniorum opera pulsi, fr. 17. — Clisthenes : demarchos instituit, fr. 18 (unico hoc loco diserta Clisthenis mentio fit).

Forma et instituta democratiæ qualis erat inde a Clisthene. — De civibus : Quonam ætatis anno juvenes in album relati civibusque ascripti sint ; περίπολοι, fr. 19, 20. (De militiæ temporibus v. fr. 59.) Inde a quonam ætatis anno χορηγεῖν licuerit, fr. 21 ; (de ἀδυνάτοις v. fr. 60, de ὀρφανοῖς v. fr. 12). — De senatu : πρόεδροι, fr. 22 ; ἐπιστάτης, fr. 23 ; γραμματεύς, fr. 24 ; ἀντιγραφεύς, fr. 25. — De archontibus, comitiis, judiciis : archontum πάρεδροι, fr. 26 ; ἄρχων (ἐπώνυμος) ; lites ad eum pertinentes εἰς ἐμφανῶν κατάστασιν (fr. 27), εἰς δατητῶν αἵρεσιν (fr. 27 a). Βασιλεύς, ejus munera, causæque ad jurisdictionem ejus pertinentes, fr. 27 b. Πολεμάρχου munera et jurisdictio, fr. 28. Θεσμοθετῶν ἀνάκρισις, eorumque munera et jurisdictio, fr. 29, 30, 31. — Κυρία ἐκκλησία, fr. 32, 33. — *Heliæa :* δικαστήρια, σύμβολα judicum, fr. 34 ; διαμεμετρημένη ἡμέρα, fr. 35 ; ψῆφοι, fr. 36 ; ἴσαι ψῆφοι, fr. 37 ; κημός, fr. 38. — *Alia judicia :* διαιτηταί, fr. 39 ; ἐχῖνος fr. 40 ; κατὰ δήμους δικασταί, fr. 41. — De disciplina et oeconomia publica : ἐπιμεληταὶ ἐμπορίου, fr. 42 ; ἀγορανόμοι, fr. 43 ; σιτοφύλακες, fr. 44 ; μετρονόμοι, fr. 45 ; ἀστυνόμοι, fr. 46 ; ἑταῖραι, fr. 47 ; ἱεροποιοί, fr. 47 a. — Ταμίαι χρημάτων καὶ ἱερῶν τριηρῶν, fr. 48, 49 ; ἀποδέκται, fr. 50 ; πωληταί, fr. 51 ; εὔθυναι καὶ λογισταί, fr. 52, 53, 54 ; συνήγοροι λογιστῶν, fr. 55. — De re militari : ἵππαρχος, fr. 56 ; φύλαρχοι, fr. 57 ; στρατηγοί, fr. 58 ; στρατεία ἐν τοῖς ἐπωνύμοις, fr. 59 ; ἀδύνατοι, fr. 60.

Historia rei publicæ inde a Clisthenis temporibus : Themistocles, fr. 61 ; Ἑλλανοταμίαι, fr. 62 ; socii Atheniensium ἀπὸ συμβόλων δικαζόμενοι, fr. 63 ; Cimon, fr. 64 ; Pericles, fr. 65, 66 ; Ephialtes, fr. 67 ; merces judicialis, demagogi, fr. 68 ; Callicrates, fr. 69 ; Nicias, Thucydides Melesii f., Theramenes, fr. 70 ; Cleon, fr. 70 a ; Cleophon, fr. 71 ; Anytus, fr. 72 ; quadringenti viri, fr. 73 ; triginta viri, Dracontides, fr. 74.

1.

Harpocration : Ἀπόλλων πατρῷος ὁ Πύθιος... Τὸν δὲ Ἀπόλλωνα κοινῶς πατρῷον τιμῶσιν Ἀθηναῖοι ἀπὸ Ἴωνος· τούτου γὰρ οἰκίσαντος τὴν Ἀττικήν, ὡς Ἀριστοτέλης φησί, τοὺς Ἀθηναίους Ἴωνας κληθῆναι καὶ Ἀπόλλω πατρῷον αὐτοῖς ὀνομασθῆναι.

Ἀπόλλω] Ἀπόλλων cod. A, Ἀπόλλωνα cod. B. Bekkeri. De re vide Demosthen. De coron. p. 274 ; Aristides tom. I p. 181 ed. Ddf. ibique schol. ; Müller. *Dor.* I, p. 239 ; C. Hermann. *Griech. Staatsalterthümer* § 96, 8 ; 100, 5 ; Schœmann. Antiquitates juris publici p. 163 ; 209, et reliquos apud Hermannum et Schœmannum laudatos. Etiam in sequentibus de rep. Athen. fragmentis ad Hermanni Schœmannique thesauros relegasse lectorem satis habebo.

2.

Plutarchus Thes. c. 25, 1 : Ἔτι δὲ μᾶλλον αὐξῆσαι τὴν πόλιν βουλόμενος ἐκάλει πάντας ἐπὶ τοῖς ἴσοις, καὶ τὸ, Δεῦρ' ἴτε πάντες λεῴ, κήρυγμα Θησέως γενέσθαι φασὶ πανδημίαν τινὰ καθιστάντος. Οὐ μὴν ἄτακτον οὐδὲ μεμιγμένην περιεῖδεν ὑπὸ πλήθους ἐπιχυθέντος ἀκρίτου γενομένην τὴν δημοκρατίαν· ἀλλὰ πρῶτος ἀποκρίνας χωρὶς εὐπατρίδας καὶ γεωμόρους καὶ δημιουργούς, εὐπατρίδαις δὲ γινώσκειν τὰ θεῖα, καὶ παρέχειν ἄρχοντας ἀποδούς, καὶ νόμων διδασκάλους

ATHENIENSIUM.

1.

Apollinem patricium omnes Athenienses colunt inde ab Ionis temporibus. Hoc enim Atticam incolis frequentante, uti Aristoteles tradit, Athenienses Iones dicti sunt atque Apollo patricius ipsis nuncupatus est.

2.

Ut magis adhuc civitatem Theseus amplificaret, invitavit omnes pari proposito jure : et edictum, Huc pergite omnes populi, Thesei autumant fuisse, concilium quoddam populorum constituentis commune. Non permisit tamen, ut respublica popularis, ab affluente et indiscreta colluvie

εἶναι, καὶ ὁσίων καὶ ἱερῶν ἐξηγητὰς τοῖς ἄλλοις πολίταις, ὥσπερ εἰς ἴσον κατέστησε, δόξῃ μὲν εὐπατριδῶν, χρείᾳ δὲ γεωμόρων, πλήθει δὲ τῶν δημιουργῶν ὑπερέχειν δοκούντων. Ὅτι δὲ πρῶτος ἀπέκλινε πρὸς τὸν ὄχλον, ὡς Ἀριστοτέλης φησὶ, καὶ ἀφῆκε τὸ μοναρχεῖν, ἔοικε μαρτυρεῖν καὶ Ὅμηρος ἐν νεῶν καταλόγῳ μόνους Ἀθηναίους δῆμον προσαγορεύσας.

V. Hermann. § 97; Schœmann. l. l. p. 164 sq., et De comitiis init. Cf. Heraclides Pont. fr. 1, 1.

De avo Thesei Pittheo v. fr. 96. Photius Lex. p. 192, 13 v. Κυσολάκων: Μελαίνῃ (Ἑλένῃ correx. Ruhnken. in Auct. ad Hesych.) γὰρ Θησεὺς οὕτως (sc. tanquam παιδικοῖς) ἐχρήσατο, ὡς Ἀριστοτέλης. Verum ibi ex Hesychio v. Κυσολάκων pro Ἀριστοτέλης reponendum Ἀρίσταρχος, monente Ruhnkenio l. l. — *Codri* Aristoteles verbo meminit in Pol. V, 8, 4, ubi ait: Ad regiam dignitatem evecti sunt οἱ μὲν κατὰ πόλεμον κωλύσαντες δουλεύειν, ὥσπερ Κόδρος.

3.

Schol. in Platon. Axioch. p. 465 Bekk: Ἀριστοτέλης φησὶ, τοῦ ὅλου πλήθους διῃρημένου Ἀθήνησιν εἴς τε τοὺς γεωργοὺς καὶ τοὺς δημιουργοὺς, φυλὰς αὐτῶν εἶναι τέσσαρας, τῶν δὲ φυλῶν ἑκάστης μοίρας εἶναι τρεῖς, ἃς τριττύας τε καλοῦσι καὶ φρατρίας, ἑκάστης δὲ τούτων τριάκοντα εἶναι γένη, τὸ δὲ γένος ἐκ τριάκοντα ἕκαστον ἀνδρῶν συνεστάναι. Τούτους δὴ τοὺς εἰς τὰ γένη τεταγμένους γεννήτας καλοῦσιν.

Εἴς τε τοὺς γεωργοὺς καὶ τοὺς δημ.] Num in his vere Aristotelica scholiasta dederit necne, difficile est dijudicatu. Putari enim possit memorasse Aristotelem potius tres populi ordines Eupatridarum, Geomororum et Demiurgorum, de quibus Plutarch. Thes. c. 25 (fr. 2), et Pollux VIII, 111: Τρία δὲ ἦν τὰ ἔθνη πάλαι, Εὐπατρίδαι, Γεωμόροι, Δημιουργοί. V. Schœmann. De comitt. Athen. p. IV; Ilgen. De trib. Ath. p. 62; Hermann. l. l. § 98, 8, cui recte se habere verba scholiastæ videntur; Schœmann. Antiqq. p. 166 sqq.

De ceteris conf. Pollux VIII, 111: Ὅτε μέντοι τέτταρες ἦσαν αἱ φυλαὶ, εἰς τρία μέρη ἑκάστη διῄρητο, καὶ τὸ μέρος τοῦτο ἐκαλεῖτο τριττὺς καὶ ἔθνος καὶ φρατρία· ἑκάστου δὲ ἔθνους γένη τριάκοντα ἐξ ἀνδρῶν τοσούτων, ἃ ἐκαλεῖτο τριακάδες (v Schœmann. Ant. p. 209). Καὶ οἱ μετέχοντες τοῦ γένους, γεννῆται καὶ ὁμογάλακτες, γένει μὲν οὐ προσήκοντες, ἐκ δὲ τῆς συνόδου οὕτω προσαγορευόμενοι. Τρία δὲ ἦν τὰ ἔθνη πάλαι, εὐπατρίδαι, γεωμόροι, δημιουργοί.

Harpocration: Γεννῆται οἱ τοῦ αὐτοῦ γένους κοινωνοῦντες· διῃρημένων γὰρ ἁπάντων τῶν πολιτῶν κατὰ μέρη, τὰ μὲν πρῶτα καὶ μέγιστα μέρη ἐκαλοῦντο φυλαὶ, ἑκάστη δὲ φυλὴ τριχῇ διῄρητο, καὶ ἐκαλεῖτο ἕκαστον μέρος τούτων τριττὺς καὶ φρατρία, πάλιν δὲ τῶν φρατριῶν ἑκάστη διῄρητο εἰς γένη λ', ἐξ ὧν αἱ ἱερωσύναι αἱ ἑκάστοις προσήκουσαι ἐκληροῦντο. Ἔστι δὲ παρὰ πολλοῖς τῶν ῥητόρων τοὔνομα, ὡς καὶ Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει (§ 67). Ἰσαῖος δ' ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου (§ 13. 15. 17) τοὺς συγγενεῖς γεννήτας ὠνόμασεν· οὐχ οἱ συγγενεῖς μέντοι ἁπλῶς καὶ οἱ ἐξ αἵματος γεννῆταί τε καὶ ἐκ τοῦ αὐτοῦ γένους ἐκαλοῦντο, ἀλλ' οἱ ἐξ ἀρχῆς εἰς τὰ καλούμενα γένη κατανεμηθέντες. Φιλόχορος δὲ ἐν τῇ δ' (fr. 91) φησὶ πρότερον ὁμογάλακτας ὀνομάζεσθαι οὓς νῦν γεννήτας καλοῦσιν.

4.

Harpocration: Τριττύς ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς· αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς καὶ ἔθνη καὶ φρατρίας, ὥς φησιν Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Eadem Photius.

[Aristot. Pol. II, 9, 9: Δράκοντος δὲ νόμοι μέν εἰσι, πολιτείᾳ δ' ὑπαρχούσῃ τοὺς νόμους ἔθηκεν· ἴδιον δ' ἐν τοῖς νόμοις οὐδέν ἐστιν ὅ τι καὶ μνείας ἄξιον πλὴν ἡ χαλεπότης διὰ τὸ τῆς ζημίας μέγεθος. Ceterum hunc locum spurium esse recte censet Gœttlingius.]

5.

Idem: Ἐπὶ Παλλαδίῳ. Δικαστήριόν ἐστιν οὕτω καλούμενον, ὡς καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων

---

incondita evaderet et confusa, sed primus discrevit seorsum patricios, agricolas et opifices. Atque quum patriciis jus concessisset res divinas cognoscendi, magistratus ex suo ordine creandi, et ut leges docerent, sacra et cærimonias reliquis civibus interpretarentur, quasi ad æquabilitatem constituit rempublicam, quod dignitate patricii, utilitate agricolæ, artifices numero viderentur præcellere. Nam eum primum fuisse in plebem, ut auctor est Aristoteles, propensum et dominatum deposuisse, testari Homerum quoque in Navium Catalogo (v. 547) apparet, qui solos Athenienses populum vocat.

3.

Aristoteles dicit, universam populi multitudinem in Attica in rusticos et operarios divisam esse; tribus eorum esse quattuor (Geleontes, Hopletes, Argadenses, Ægicorenses); tribuum singularum ternas esse partes, quas Trittyes sive Phratrias appellent, phratriæ uniuscujusque gentes esse tricenas; singulas gentes virorum (patrumfamilias) esse tricenorum; eos autem qui ad unam eandemque gentem pertineant, appellari γεννήτας.

4.

Trittys tribus tertia pars est; nam tribus in tres dividitur partes, quas trittys sive gentes sive phratrias dicunt, uti tradit Aristoteles in Athen. Rep.

5.

Ad Palladium. Judicium est sic vocatum, uti etiam

πολιτείᾳ, ἐν ᾧ δικάζουσιν ἀκουσίου φόνου καὶ βουλεύσεως οἱ ἐφέται. Ἔσχε δὲ καὶ τὸ δικαστήριον τὴν τοῦ Παλλαδίου ἐπωνυμίαν, καὶ οἱ δικασταὶ τὴν τῶν ἐφετῶν ἐντεῦθεν. Ἀγαμέμνονος μετὰ τῶν Ἀργείων σὺν τῷ Παλλαδίῳ προενεχθέντος Ἀθήναις ἐξ Ἰλίου, Δημοφῶν ἁρπάζει τὸ Παλλάδιον, καὶ πολλοὺς τῶν διωκόντων ἀναιρεῖ. Ἀγαμέμνων δὲ δυσχεράνας δίκην τὸν ἁρπάσαντα ἀπαιτεῖ, καὶ συνίσταται τὸ δικαστήριον (sic libri duo; cett. κριτήριον) ἐπὶ πεντήκοντα μὲν Ἀθηναίων, πεντήκοντα δὲ Ἀργείων, οὓς ἐφέτας ἐκάλεσαν παρὰ τὸ ἀμφοτέρωθεν (plurimi libri ἀμφοτέρων, Suidas παρ' ἀμφοτέρων) ἐφεθῆναι αὐτοῖς τὰ τῆς κρίσεως.

Quæ de origine nominum afferuntur, non ex Aristotele, sed e Clitodemo hausta esse videntur, quum hunc testem laudet Suidas v. Ἐπὶ Παλλαδίῳ eadem iisdem fere verbis afferens. Vide not. ad Clitodemi fr. 12. Cf. Phanodemi 12, Pollux VIII, 118. De re v. Hermann. l. l. § 104; O. Müller. *Eumenid.* p. 155; Schœmann. Antiq. p. 290.

6.

Idem : Βουλεύσεως ἐγκλήματος ὄνομα ἐπὶ δυοῖν ταττόμενον πραγμάτων· τὸ μὲν γάρ ἐστιν ὅταν ἐξ ἐπιβουλῆς τίς τινι κατασκευάσῃ θάνατον, ἐάν τε ἀποθάνῃ ὁ ἐπιβουλευθεὶς ἐάν τε μή· τὸ δ' ἕτερον ὅταν τις ἐγγεγραμμένος ὡς ὀφείλων τῷ δημοσίῳ δικάζηταί τινι ὡς οὐ δικαίως αὐτὸν ἐγγεγραφότι. Τοῦ μὲν οὖν προτέρου μάρτυς Ἰσαῖος ἐν τῷ πρὸς Εὐκλείδην, ἐπὶ Παλλαδίῳ λέγων εἶναι τὰς δίκας, Δείναρχος δὲ ἐν τῷ κατὰ Πιστίου ἐν Ἀρείῳ πάγῳ. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ τῷ Ἰσαίῳ συμφωνεῖ.

Harpocrationem exscripsit Suidas s. v. Cf. Lexic. Rhetor. in Bekk. An. p. 220.

7.

Idem : Ἐπὶ Δελφινίῳ. Δικαστήριόν ἐστιν οὕτω καλούμενον Ἀθήνησι. Δικάζονται δὲ ἐνταῦθα οἱ ὁμολογοῦντες μὲν ἀπεκτονέναι, δικαίως δὲ πεποιηκέναι τοῦτο λέγοντες, ὡς Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους (§. 74) δηλοῖ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Cf. id. v. Δελφίνιον; Pausan. I, 28; Pollux VIII, 119; Bekker. Anecd. I, p. 255; Hermann. § 104, 15; Müller. *Eumenid.* p. 151 sqq.

[Arist. Pol. IV, 13, 2 : Τέταρτον δὲ (φονικοῦ εἶδος), ὅσα τοῖς φεύγουσι φόνου ἐπὶ καθόδῳ ἐπιφέρεται, οἷον Ἀθήνησι λέγεται καὶ τὸ ἐν Φρεαττοῖ δικαστήριον.]

[Arist. Pol. IV, 9, 10 : Optimos legislatores esse ait τῶν μέσων πολιτῶν· Σόλων τε γὰρ ἦν ἐκ τούτων (δηλοῖ δ' ἐκ τῆς ποιήσεως), etc.]

[Id. Pol. II, 9, 2 : Σόλωνα δ' ἔνιοι μὲν οἴονται νομοθέτην γενέσθαι σπουδαῖον· ὀλιγαρχίαν τε γὰρ καταλῦσαι λίαν ἄκρατον οὖσαν, καὶ δουλεύοντα τὸν δῆμον παῦσαι, καὶ δημοκρατίαν καταστῆσαι τὴν πάτριον, μίξαντα καλῶς τὴν πολιτείαν. Εἶναι γὰρ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν ὀλιγαρχικὸν, τὸ δὲ τὰς ἀρχὰς αἱρετὰς ἀριστοκρατικὸν, τὰ δὲ δικαστήρια δημοτικόν. Ἔοικε δὲ Σόλων ἐκεῖνα μὲν ὑπάρχοντα πρότερον οὐ καταλῦσαι, τήν τε βουλὴν καὶ τὴν τῶν ἀρχῶν αἵρεσιν, τὸν δὲ δῆμον καταστῆσαι, τὰ δικαστήρια ποιήσας ἐκ πάντων. Διὸ καὶ μέμφονταί τινες αὐτῷ· λῦσαι γὰρ θάτερον, κύριον ποιήσαντα τὸ δικαστήριον πάντων, κληρωτὸν ὄν· ἐπεὶ γὰρ τοῦτ' ἴσχυεν, ὥσπερ τυράννῳ τῷ δήμῳ χαριζόμενοι τὴν πολιτείαν εἰς τὴν νῦν δημοκρατίαν κατέστησαν. Καὶ τὴν μὲν ἐν Ἀρείῳ πάγῳ βουλὴν Ἐφιάλτης ἐκόλουσε καὶ Περικλῆς, τὰ δὲ δικαστήρια μισθοφόρα κατέστησε Περικλῆς, καὶ τοῦτον δὴ τὸν τρόπον ἕκαστος τῶν δημαγωγῶν προήγαγεν αὔξων εἰς τὴν νῦν δημοκρατίαν. Φαίνεται δ' οὐ κατὰ τὴν Σόλωνος γενέσθαι τοῦτο προαίρεσιν, ἀλλὰ μᾶλλον ἀπὸ συμπτώματος· τῆς ναυαρχίας γὰρ ἐν τοῖς Μηδικοῖς ὁ δῆμος αἴτιος γενόμενος ἐφρονηματίσθη, καὶ δημαγωγοὺς ἔλαβε φαύλους, ἀντιπολιτευομένων τῶν ἐπιεικῶν, ἐπεὶ Σόλων γε ἔοικε τὴν ἀναγκαιοτάτην ἀποδιδόναι τῷ δήμῳ δύναμιν, τὸ τὰς ἀρχὰς αἱρεῖσθαι καὶ εὐθύνειν· μηδὲ γὰρ τούτου κύριος ὢν ὁ δῆμος δοῦλος ἂν εἴη καὶ πολέμιος. Τὰς δὲ ἀρχὰς ἐκ τῶν γνωρίμων καὶ τῶν εὐπόρων κατέστησε πάσας, ἐκ τῶν πεντακοσιομεδίμνων καὶ ζευγιτῶν καὶ τρίτου

Aristoteles in Athen. Rep. tradit, in quo de cæde inconsulto commissa et de insidiis vitæ alterius structis Ephetæ judicant. Tribunal vero Palladii, judices autem ephetarum nomen nacti sunt hanc ob causam : nimirum quum Agamemno et Argivi Troja redeuntes cum Palladio Athenas appulissent, Demophon Palladium rapuit, et multos insequentium occidit. Propterea indignatus Agamemno puniri raptorem postulat. Ac constituitur judicium ex quinquaginta Atheniensibus totidemque Argivis; quos judices Ephetas ab ἐφεθῆναι voce nominarunt, quod ab utraque litigantium parte judicium iis permissum est.

6.

Βουλεύσεως. Est nomen actionis, quæ duobus in criminibus locum habebat. Unum est, quum quis vitæ alicujus insidiatus esset, sive moreretur is qui insidiis appetitus erat, sive non; alterum est, quum qui in tabulis publicis ærarii debitor esset inscriptus, actionem contra aliquem instituerit, contendens nomen suum in tabulis injuste ab eo inscriptum esse. De priore criminum, ut Isæus in oratione contra Euclidem testatur, ad Palladium judicabatur; contra Dinarchus in oratione adversus Pistiam in Areopago dicit. Isæo assentitur Aristoteles in Rep. Atheniensium.

7.

Ad Delphinium. Athenis erat hoc nomine forum judiciarium, in quo causam dicebant, qui cædem commisisse faterentur, sed jure id fecisse se contenderent, uti testatur Demosthenes oratione contra Aristocratem, et Aristoteles Rep. Athen.

τέλους τῆς καλουμένης ἱππάδος· τὸ δὲ τέταρτον θητικὸν, οἷς οὐδεμιᾶς ἀρχῆς μετῆν.]

8.

Photius Lex. : Ναυκραρία· τὸ πρότερον οὕτως ἐκάλουν, ναυκραρία καὶ ναύκραρος· ναυκραρία μὲν ὁποῖόν τι ἡ συμμορία καὶ ὁ δῆμος, ναύκραρος δὲ ὁποῖόν τι ὁ δήμαρχος, Σόλωνος οὕτως ὀνομάσαντος, ὡς καὶ Ἀριστοτέλης φησὶ, καὶ ἐν τοῖς νόμοις δὲ ἄν τις ναυκραρίας ἀμφισβητῇ καὶ τοὺς ναυκράρους τοὺς κατὰ ναυκραρίαν· ὕστερον δὲ ἀπὸ Κλεισθένους δῆμοί εἰσι, καὶ δήμαρχοι ἐκλήθησαν. Ἐκ τῆς Ἀριστοτέλους πολιτείας, ὃν τρόπον διέταξε τὴν πόλιν ὁ Σόλων, φυλαὶ δὲ ἦσαν τέσσαρες, καθάπερ πρότερον, καὶ φυλοβασιλεῖς τέσσαρες· ἐκ δὲ τῆς φυλῆς ἑκάστης ἦσαν νενεμημέναι τριττύες μὲν τρεῖς, ναυκραρίαι δὲ δώδεκα καθ' ἑκάστην. Ὁ Κλείδημος ἐν τῇ τρίτῃ φησὶν ὅτι Κλεισθένους δέκα φυλὰς ποιήσαντος ἀντὶ τῶν τεσσάρων, συνέβη καὶ ἐς πεντήκοντα μέρη διαταχθῆναι αὐτάς. Ταῦτα δὲ (διαταγῆναι. αὐτοὺς δὲ cod.) ἐκάλουν ναυκραρίας, ὥσπερ νῦν εἰς τὰ ἑκατὸν μέρη διαιρεθέντα καλοῦσι συμμορίας.

Locus mancus. Verba καὶ ἐν τοῖς νόμοις... ναυκραρίαν sensum non fundunt. Siebelis ad Clitodem. p. 37 interpretatur sic : « Solon dixerat ναυκραρίας et ναυκράρους, quanquam dubitari possit an hoc in legibus fecerit. » Id vero vel sententiæ causa ferri nequit. Fortasse fuit : Καὶ ἐν τοῖς νόμοις λέλεκται· « ἐάν τις ναυκραρίας κτλ. * *. » adeo ut ipsa legis cujusdam Soloneæ verba citentur. In sequentibus nomen Aristotelis temere repetitum esse censeo. Scripserim ita : ἐκ τῆς πολιτείας ὃν τρόπον διέταξε τὴν πόλιν ὁ Σόλων, φυλαὶ μὲν ἦσαν τέσσαρες, vulgata interpretanda foret : *Ex Ar. rep. Athen., quo loco rationem exponit qua Solon remp. adornaverit* (*affero hæc*) : etc.

Cf. Pollux VIII, 108 : Οὗτοι (sc. δήμαρχοι) οἱ κατὰ δήμους ἄρχοντες· ἐκαλοῦντο τέως ναύκραροι, ὅτε καὶ οἱ δῆμοι ναυκραρίαι. Ναυκραρία δ' ἦν τέως φυλῆς δυοκαιδέκατον μέρος. Καὶ δυώδεκα ναυκραρίαι ἦσαν, τέσσαρες κατὰ τριττὺν ἑκάστην. Τὰς δ' εἰσφορὰς τὰς κατὰ δήμους διεχειροτόνουν οὗτοι, καὶ τὰ ἐξ αὐτῶν ἀναλώματα. Ναυκραρία δὲ ἑκάστη δύο ἱππέας παρεῖχε, καὶ ναῦν μίαν, ἀφ' ἧς ἴσως ὠνόμασται. Ceterum de demarchis cf. infra fr. 18.

9.

Harpocration v. Ἱππάς : Ἰσαῖος ἐν τῷ περὶ τοῦ Ἀπολλοδώρου κλήρου· « Ἀπεγράψατο μὲν τίμημα μικρὸν ὡς ἱππάδα τελῶν. » Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ φησὶν ὅτι Σόλων εἰς δ' διεῖλε τέλη τὸ πᾶν πλῆθος τῶν Ἀθηναίων, πεντακοσιομεδίμνους καὶ ἱππέας καὶ ζευγίτας καὶ θῆτας. [τῶν οὖν ἱππέων αἱ ἱππάδες.]

Postrema unus habet cod. D. et Photius s. v., ubi simul alteram legis glossam e nostra male intellecta ortam, secundum quam Solon quinque classes fecisset, quarum postrema ἱππὰς ἐκαλεῖτο. De voce ἱππάς, *census equestris*, cf. Isæus p. 67, 23; Plutarch. Solon. c. 18.

10.

Harpocration v. Θῆτες καὶ θητικόν : Εἰς τέσσαρα διῃρημένης παρ' Ἀθηναίοις τῆς πολιτείας οἱ ἀπορώτατοι ἐλέγοντο θῆτες καὶ θητικὸν τελεῖν. Οὗτοι δὲ οὐδεμιᾶς μετεῖχον ἀρχῆς, ὡς καὶ Ἀριστοτέλης δηλοῖ ἐν Ἀθηναίων πολιτείᾳ· ὅτι δὲ οὐκ ἐστρατεύοντο, εἴρηκε καὶ Ἀριστοφάνης ἐν Δαιταλεῦσιν. Cf. Photius et Suidas s. v. Aristot. Pol. II, 10, 3. Pollux VIII, 129 sq. : Τιμήματα δ' ἦν τέτταρα· πεντακοσιομεδίμνων, ἱππέων, ζευγιτῶν, θητικῶν. Οἱ μὲν [πεντακοσιομέδιμνοι] ἐκ τοῦ πεντακοσίων μεδίμνων μέτρα ὑγρὰ καὶ ξηρὰ ποιεῖν κληθέντες· ἀνήλισκον δ' εἰς τὸ δημόσιον τάλαντον· οἱ δὲ τὴν ἱππάδα τελοῦντες ἐκ μὲν τοῦ δύνασθαι τρέφειν ἵππους κεκλῆσθαι δοκοῦσιν· ἐποίουν δὲ μέτρα τριακόσια, ἀνήλισκον δὲ ἡμιτάλαντον· οἱ δὲ τὸ ζευγίσιον τελοῦντες ἀπὸ διακοσίων μέτρων κατελέγοντο, ἀνήλισκον δὲ μνᾶς δέκα· οἱ δὲ τὸ θητικόν, οὐδεμίαν ἀρχὴν ἦρχον, οὐδὲ ἀνήλισκον οὐδέν. Plutarch. Solon. c. 18; Bœckh. *Staatshaush.* II, p. 30; Hermann. § 108; Schœmann. p. 174.

8.

Antea (*ante Clisthenis tempora*) dicebant : naucraria et naucrarus (*pro : demus et demarchus*). Naucraria enim est idem fere quod symmoria et demus, naucrarus idem fere quod demarchus, Solone sic nominante, uti Aristoteles dicit; in legibus quoque naucrarias et naucraros singularum naucrariarum memoratos invenias. Postea vero inde a Clisthene naucrariæ vocantur demi, et nauclari demarchi. Ex ratione qua Solon rempublicam adornaverat, tribus erant quattuor, sicuti antea; itemque tribuum reges item quattuor; singularum vero tribuum ternæ erant trittyes et naucrariæ duodenæ. Postea, ubi Clisthenes (teste Clidemo libro tertio) decem tribus prioribus istis quattuor substituisset, simul etiam in quinquaginta divisæ sunt partes, quas naucrarias appellabant, ut partes centum, in quas nunc dividuntur, symmorias vocant.

9.

Solon omnem Atheniensium populum in quattuor classes e censu descriptas divisit, in Pentacosiomedimnos, Equites, Zeugitas et Thetes.

10.

Republica apud Athenienses, in quattuor classes divisa, tenuissimi θῆτες (mercenarii, opifices) et θητικὸν τελεῖν (mercenariorum vel opificum classi accenseri) dicebantur. His magistratu fungi non licebat, ut Aristoteles declarat in Rep. Athen; nec militabant, ut Aristophanes quoque in Dætalensibus ait.

11.

Plutarch. Solon. c. 25 : Ἰσχὺν δὲ τοῖς νόμοις πᾶσιν εἰς ἑκατὸν ἐνιαυτοὺς ἔδωκε· καὶ κατεγράφησαν εἰς ξυλίνους ἄξονας ἐν πλαισίοις περιέχουσι στρεφομένους· ὧν ἔτι καθ' ἡμᾶς ἐν Πρυτανείῳ λείψανα μικρὰ διεσώζετο· καὶ προσηγορεύθησαν, ὡς Ἀριστοτέλης φησὶ, κύρβεις... Ἔνιοι δέ φασιν ἰδίως, ἐν οἷς ἱερὰ καὶ θυσίαι περιέχονται κύρβεις, ἄξονας δὲ τοὺς ἄλλους ὠνομάσθαι. Eadem habes in scholio Aldin. ad Arist. Nub. 478 a Musuro composito. Quæ sequuntur ap. Plutarchum, ex eodem Aristotele petita, vide fr. 13.

Schol. Aristophan. Av. 1354 : Κύρβεις, χαλκαῖ σανίδες ἔνθα τοὺς νόμους γράφουσι. Κατὰ δὲ ἐνίους, ἄξονες τρίγωνοι, ἐν οἷς ἦσαν οἱ τῶν πόλεων νόμοι γεγραμμένοι καὶ αἱ δημοσίαι ἱεροποιίαι, (καθάπερ καὶ Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ φησὶ καὶ Ἀπολλόδωρος· κύρβεις δὲ ἤτοι παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένον ἢ ἀπὸ τῶν Κορυβάντων· ἐκείνων γὰρ εὕρημα, ὥς φησι Θεόφραστος ἐν τῷ Περὶ εὐσεβείας.)

Harpocratio v. Κύρβεις : Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησίν· « Ἀναγράψαντες δὲ τοὺς νόμους εἰς τοὺς κύρβεις ἔστησαν ἐν τῇ στοᾷ τῇ βασιλείᾳ (βασιλίδι cod. D. et Photius). »

Vulgo distinguunt grammatici inter ἄξονας quadrangulos, quibus leges politicæ sive civiles inscriptæ sint, et κύρβεις triangulos, in quibus jus sacrum exaratum (veterum locos collectos habes in Steph. Thes. v. Κύρβις. Cf. disputationem Prelleri ad Polemon. p. 89 sqq.). Ignorasse hanc nominum distinctionem utpote seriorum commentum, aut non attendisse ad hæc Aristotelem ex loco Plutarchi colligitur. In schol. Aristoph. vocem τρίγωνοι haud mutandam esse censeo. Eratosthenes quoque τριγώνους axes dixit, neque inter κύρβεις et ἄξονας distinxit (ap. Schol. Apoll. Rhod. IV, 280), neque Polemonem (ap. Harpocrat. v. Ἄξονα) distinxisse demonstrari potest, quum is in iis quæ referuntur, Eratosthenem eo tantum reprehendit, quod τοὺς ἄξονας non τετραγώνους sed τριγώνους dixerit.

Quæ ap. Schol. Arist. uncis includuntur, absunt a codice Ravennate. Pro Θεόφραστος in codd. est Θεόπομπος, quod correxit Ruhnken. Hist. crit. or. p. 163 ed. Reisk.; nam eadem e Theophrasto refert Porphyr. De abstin. an. 2, 21 et Photius Lex. v. Κύρβεις : Θεόφραστος δὲ, ἀπὸ τῶν Κρητικῶν Κορυβάντων· τῶν γὰρ Κορυβαντικῶν ἱερῶν οἷον ἀντίγραφα αὐτοὺς εἶναι. Cum hac opinione cohæret, ut recte monet Preller. l. l., quod σανίδες istæ χαλκαῖ dicuntur, quum ligneæ fuerint, vel secundum alios, sed minus recte, lapideæ.

11. a.

Gellius N. A. II, 12 : *In legibus Solonis illis antiquissimis, quæ Athenis axibus ligneis incisæ sunt, quasque latas ab eo Athenienses, ut sempiternæ manerent, pœnis et religionibus sanxerant, legem esse Aristoteles refert scriptam ad hanc sententiam : si ob discordiam dissensionemque seditio atque discessio populi in duas partes fieret, et ob eam causam irritatis animis utrimque arma caperentur pugnareturque, tum qui in eo tempore in eoque casu civilis discordiæ, non alterutræ parti sese adjunxerit, sed solitarius separatusque a communi malo civitatis secesserit, is domo, patria, fortunisque omnibus careto : exsul extorrisque esto.*

[Arist. Pol. II. 4, 4 : Σόλων ἐνομοθέτησεν, καὶ παρ' ἄλλοις ἐστὶ νόμος, ὃς κωλύει κτᾶσθαι γῆν ὁπόσην ἂν βούληταί τις.]

12.

Harpocratio : Σῖτος καλεῖται ἡ διδομένη πρόσοδος εἰς τροφὴν ταῖς γυναιξὶν ἢ τοῖς ὀρφανοῖς, ὡς ἐξ ἄλλων μαθεῖν ἔστι καὶ ἐκ τοῦ Σόλωνος α' ἄξονος καὶ ἐκ τῆς Ἀριστοτέλους Ἀθηναίων πολιτείας. Eadem Photius. Ipse Aristoteles haud dubie leges Solonis eodem ordine, quo inter columellas distributæ erant, in Rep. Athen. recensuerat. Anonymus ap. Menagium inter scripta Aristotelis recenset Περὶ τῶν Σόλωνος ἀξόνων ε'. Perperam, puto. Fortasse Aristoteli tribuit opus Asclepiadis, qui scripserat Ἀξόνων ἐξηγητικά (Etym. Gud. p. 355, 40), vel Didymi, cujus laudatur Περὶ τῶν ἀξόνων τοῦ Σόλωνος ἀντιγραφὴ πρὸς Ἀσκληπιάδην (Plutarch. Solon. c. 1). De re cf. Schœmann. l. l. p. 309. Aliud ex *prima* tabula Solonis affert Plutarch. Sol. c. 24 ex eodem, suspicor, Aristotele.

11.

Legibus suis omnibus Solon auctoritatem in centum esse annos voluit, suntque inscriptæ ligneis tabulis, qui ἄξονες dicti, quadrangulis ligneis inserti convertuntur, eorumque etiamnum reliquiæ quædam in Prytaneo asservantur. Aristoteles κύρβεις cognominatos esse auctor est... Nonnulli seorsum cyrbes vocatos dicunt, quibus continebantur leges sacrorum et sacrificiorum, ceteras axones fuisse appellatas.

Cyrbes erant tabulæ æneæ, quibus leges inscripserunt. Secundum nonnullos erant axes trianguli, in quibus scriptæ erant leges civiles et quæ ad procurationem sacrorum publicorum pertinent (sicuti etiam Aristoteles in Atheniensium rep. et Apollodorus tradunt).

Aristoteles in Rep. Atheniensium ait : Leges inscripserunt cyrbibus, quos collocarunt in porticu regia.

12.

Σῖτος vocatur reditus qui ad alimenta mulieribus vel pupillis præbetur, quod tum ex aliis discere est tum ex primo axe Solonis et ex Aristotele in Rep. Athen.

13.

Harpocration v. Λίθος : Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος (§ 26)· « Τῶν τε παρόντων καθ' ἕνα ἡμῖν οὑτωσὶ καὶ πρὸς τὸν λίθον (in nostris libris βωμόν) ἄγοντες καὶ ἐξορκοῦντες ». Ἐοίκασι δ' Ἀθηναῖοι πρός τινι λίθῳ τοὺς ὅρκους ποιεῖσθαι, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθ. πολιτείᾳ καὶ Φιλόχορος (fr. 65) ἐν τῷ γ' ὑποσημαίνουσιν. Eadem Suidas et Photius in Lex. Cf. Plutarch. Solon. c. 25 : Κοινὸν μὲν οὖν ὤμνυεν ὅρκον ἡ βουλή, τοὺς Σόλωνος νόμους ἐμπεδώσειν, ἴδιον δ' ἕκαστος τῶν θεσμοθετῶν (cf. fr. 30) ἐν ἀγορᾷ πρὸς τῷ λίθῳ καταφατίζων, εἴ τι παραβαίη τῶν θεσμῶν, ἀνδριάντα χρυσοῦν ἰσομέτρητον ἀναθήσειν ἐν Δελφοῖς. V. Meursius Lectt. Attic. I, 6; Zoega De obelisc. p. 209, n. 6.

Philochorus Atthidis libro tertio egit de Solonis temporibus. De iisdem dixerit Aristoteles eo loco, quem grammaticus innuit.

14.

Plutarch. Solon. c. 32, 4 : Ἡ δὲ δὴ διασπορὰ κατακαυθέντος αὐτοῦ (τοῦ Σόλωνος) τῆς τέφρας περὶ τὴν Σαλαμινίων νῆσον, ἔστι μὲν διὰ τὴν ἀτοπίαν ἀπίθανος παντάπασι καὶ μυθώδης· ἀναγέγραπται δ' ὑπό τε ἄλλων ἀνδρῶν ἀξιολόγων καὶ Ἀριστοτέλους τοῦ φιλοσόφου.

Idem de Lycurgo in Creta mortuo narrat Aristocrates ap. Plutarch. Lyc. c. 31.

15.

Schol. Aristoph. Acharn. 233 : Οἱ Παλληνεῖς δῆμός ἐστι τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν καὶ Ἀθηναίοις ἀμυνομένοις αὐτὸν συνέστη πόλεμος... Μέμνηται δὲ τούτου καὶ Ἀνδροτίων (fr. 42) καὶ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. De re vide Herodot. I, 62.

16

Schol. Aristoph. Lys. 665 : Λυκόποδας ἐκάλουν, ὡς μὲν Ἀριστοτέλης, τοὺς τῶν τυράννων δορυφόρους. Τοὺς γὰρ ἀκμάζοντας τῶν οἰκετῶν ἐπὶ τῇ τοῦ σώματος φυλακῇ ἔβαλλον (scr. ἔλαβον e Suida)· λυκόποδες δὲ ἐκαλοῦντο, ὅτι διὰ παντὸς εἶχον τοὺς πόδας λύκων δέρμασι περικεκαλυμμένους, ὥστε μὴ ἐπικαίεσθαι ἐκ τοῦ περιέχοντος· τινὲς δὲ λυκόποδας, διὰ τὸ ἔχειν ἐπὶ τῶν ἀσπίδων ἐπίσημον λύκον. Ὁ δὲ Ἀριστοφάνης ἔφη τοὺς νῦν λεγομένους Ἀλκμαιωνίδας· οὗτοι γὰρ πόλεμον ἀράμενοι πρὸς Ἱππίαν τὸν τύραννον καὶ τοὺς Πεισιστρατίδας ἐτείχισαν τὸ Λειψύδριον.

Λειψύδριον, χωρίον τῆς Ἀττικῆς περὶ τὴν Πάρνηθον, εἰς ὃ συνῆλθόν τινες ἐκ τοῦ ἄστεος, ὥς φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Eadem Suidas v. Λυκόποδες. Initio fr. verba ὡς μὲν Ἀριστ. Suidas non exhibet. — περὶ τὴν Πάρνηθον] Ita Dindorf. e cod. Rav.; τὸ ὑπεράνω Πάρνηθος libri duo; τὸ ὑπὲρ Πάρνηθος Suidas. Herodot. V, 62 : Ἀλκμαιωνίδαι πειρώμενοι κατιέναι τε καὶ ἐλευθεροῦν τὰς Ἀθήνας, Λειψύδριον τὸ ὑπὲρ Παιονίης τειχίσαντες. De hac Pæonia regione ad radices Parnethis v. C. O. Müller *zur Karte des nordl. Griechenlands* p. 36, et Bæhr ad Herodot. l. l. — De nomine λυκόποδες cf. Photius, Hesych. et Etym. M. s. v. Ceterum apud Aristophanem metri causa Hermannus et Dindorfius reposuerunt λευκόποδες.

17.

Schol. Aristophan. Lys. 1153 : Ἀριστοτέλης φησὶ μετὰ τὸν Ἱππάρχου θάνατον χρησμὸν γενέσθαι τοῖς Λάκωσιν καταλύειν τὴν τυραννίδα, τῆς Πυθίας, ὡς οἱ Ἀλκμαιωνίδαι ἐμισθώσαντο τὸν ἐν Δελφοῖς νεὼν οἰκοδομεῖν, συνεχῶς τοῦτο χρώσης αὐτοῖς μαντευομένοις, ἕως πρότερον μὲν Ἀγχιμόλιον ἔπεμψαν κατὰ θάλασσαν, ἀποκρουσθέντος δὲ αὐτοῦ ὀργισθέντες οἱ Λάκωνες

13.

Demosthenes in oratione contra Cononem : « Et unumquemque nostrûm qui aderamus sic ad saxum adduxerunt et jurejurando adegerunt. » Videntur Athenienses ad quoddam saxum jurare soliti fuisse, ut ex Aristotele in Atheniensum Rep. et ex Philochoro in Atthidis libro quarto colligere licet.

14.

Cremati Solonis cineres sparsos esse apud Salaminem insulam tantum habet absurdi, ut omnino fidem non mereri, sed commentum judicari possit : tamen id factum scripsere tum alii fide digni auctores, tum Aristoteles etiam philosophus.

15.

Pallenensium demus Atticus est, in quo Pisistratus, quum (tertio) tyrannide potiri vellet, et Athenienses repulsuri eum manum conseruerunt. Meminit hujus rei Androtion et Aristoteles in Rep. Atheniensium.

16.

Λυκόποδες appellabantur, ut Aristoteles tradit, satellites tyrannorum. Servos enim robustos ad corporis custodiam adhibere solebant, qui Lycopodes appellabantur, quod pedes pellibus lupinis perpetuo tectos haberent, ne ab aere adurerentur, vel quod in clypeis lupum pro insigni gererent. Aristophanes vero sic Alcmæonidas vocat, qui quum bellum Hippiæ tyranno et reliquis Pisistratidis intulissent, Lipsydrium munierunt. — Lipsydrium vero est Atticæ locus ad Parnethem montem, quo ex urbe quidam convenerunt, ut scribit Aristoteles in Rep. Atheniensium.

17.

Aristoteles dicit post mortem Hipparchi oraculum datum esse Lacedæmoniis, quo tyrannidem Pisistratidarum evertere juberentur. Pythiam enim, quum Alcmæonidæ templum Delphicum reædificandum conduxissent, hoc semper responsum dedisse, quoties Lacedæmonii oracu-

Κλεομένη τὸν βασιλέα σὺν μείζονι ἐξέπεμψαν στόλῳ, καὶ νικήσας τοὺς Θετταλοὺς εἰσῆλθεν εἰς τὴν Ἀττικὴν καὶ τὸν Ἱππίαν συνέκλεισεν εἰς τὸ Πελαργικὸν (l. Πελασγικὸν) τεῖχος, ἕως οἱ παῖδες τῶν τυράννων ἐξιόντες ἑάλωσαν. Fusius rem narrat Herodotus V, 62 sqq.

[In Aristot. Pol. de *Pisistratidis* leguntur hæc, V, 4, 5 : Qui tyrannidem occuparunt, plerumque τοῦτο ἔδρων ὑπὸ τοῦ δήμου πιστευθέντες· ἡ δὲ πίστις ἦν ἡ ἀπέχθεια ἡ πρὸς τοὺς πλουσίους· οἷον Ἀθήνησί τε Πεισίστρατος στασιάσας πρὸς τοὺς πεδιακούς. V, 9, 4 : Καὶ τὸ πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν... Παράδειγμα δὲ τούτου... καὶ τοῦ Ὀλυμπίου ἡ οἰκοδόμησις ὑπὸ τῶν Πεισιστρατιδῶν. V, 9, 21 : Φασὶ δὲ καὶ Πεισίστρατον ὑπομεῖναί ποτε προσκληθέντα δίκην εἰς Ἄρειον πάγον. V, 8, 21 : Μάλιστα δὲ συμβαίνει τοῖς θυμοῖς ἀκολουθεῖν διὰ τὴν ὕβριν, δι' ἣν αἰτίαν ἥ τε τῶν Πεισιστρατιδῶν κατελύθη τυραννὶς καὶ πολλαὶ τῶν ἄλλων. V, 8, 9 : Conspiratio contra Pisistratidas facta est διὰ τὸ προπηλακίσαι μὲν τὴν Ἁρμοδίου ἀδελφήν, ἐπηρεάσαι δ' Ἁρμόδιον· ὁ μὲν γὰρ Ἁρμόδιος διὰ τὴν ἀδελφήν, ὁ δ' Ἀριστογείτων διὰ τὸν Ἁρμόδιον. V, 9, 23 : Τρίτη (quod ad tempus per quod steterit) δ' ἡ (τυραννὶς) τῶν Πεισιστρατιδῶν Ἀθήνησιν· οὐχ ἐγένετο δὲ συνεχής· δὶς γὰρ ἔφυγε Πεισίστρατος τυραννῶν· ὥστε ἐν ἔτεσι τριάκοντα καὶ τρισὶν ἑπτακαίδεκα ἔτη τούτων ἐτυράννευσεν· ὀκτωκαίδεκα δὲ οἱ παῖδες· ὥστε τὰ πάντα ἐγένετο ἔτη τριάκοντα καὶ πέντε.]

[*Clisthenis* Aristoteles meminit in Pol. III, 1, 10 : Κλεισθένης μετὰ τὴν τῶν τυράννων ἐκβολὴν πολλοὺς ἐφυλέτευσε ξένους καὶ δούλους μετοίκους. Id. VI, 2, 11, Clisthenis instituta perapta esse dicit ad condendam eam rempublicam, in qua omnes cives administrationis participes sint.]

18.

Schol. Aristoph. Nub. 37 : Ἀριστοτέλης δὲ περὶ Κλεισθένους φησί· « Κατέστησε καὶ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· καὶ γὰρ τοὺς δήμους ἀντὶ τῶν ναυκραριῶν ἐποίησεν. »

Harpocration v. Ναυκραρικά : Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων Πολιτείᾳ φησί· « Κατέστησαν δὲ δημάρχους τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· δημίους (δημαίους cod. A. : utrumque pro δήμους) ἀντὶ τῶν ναυκράρων (l. ναυκραριῶν) ἐποίησαν. »

Idem v. Δήμαρχος : Ἄρχων τις ἦν ὁ δήμαρχος (ἑκάστου δήμου τῶν ἐν Ἀθήναις ὁ κατάρχων δήμαρχος ἐλέγετο codd. D. E. et Suidas s. v)· οὗτοι δὲ τὰς ἀπογραφὰς ἐποιοῦντο τῶν προσόντων (sic D. E.; ἐποιοῦντο ἐν N.) ἑκάστῳ δήμῳ χωρίων· ἔτι δὲ καὶ τὰ ληξιαρχικὰ γραμματεῖα παρὰ τούτοις ἦν, καὶ συνῆγον τοὺς δήμους ὁπότε δεήσειεν, καὶ ψῆφον αὐτοῖς ἐδίδοσαν (καὶ ἐνεχύραζον δὲ οὗτοι add. codd. D. E. et Suidas). Τούτους δέ φησιν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ ὑπὸ Κλεισθένους κατασταθῆναι, τὴν αὐτὴν ἔχοντας ἐπιμέλειαν τοῖς πρότερον ναυκράροις· ὅτι δὲ ἠνεχυρίαζον οἱ δήμαρχοι, δηλοῖ Ἀριστοφάνης ἐν Σκηνὰς καταλαμβανούσαις.

Eadem Suidas. Cf. supra fr. 8; Eudocia p. 108; Lex. Rhet. in Bekk. Anecd. p. 237, 8; 242, 16; Pollux VIII, 108. Hesych. s. v. Δήμαρχοι, Δήμαρχον, Ναύκλαροι; Meier. De bonis damn. p. 80, 202, 204; Bœckh. OEcon. Athen. I, 275 sq.; II, p. 47; Hermann. § 99, 5; 111, 4.

19.

Pollux III, 17 : Ὁ δὲ πάππου ἢ τήθης πατὴρ, πρόπαππος· τάχα δὲ τοῦτον εἴποις τριτοπάτορα, ὡς Ἀριστοτέλης. V. Lobeck. De tritopat. in Misc. crit. I, 3, p. 520.

Schol. Aristophan. Vesp. 578 : Ἀριστοτέλης δέ φησιν ὅτι ψήφῳ οἱ ἐγγραφόμενοι δοκιμάζονται οἱ νεώτεροι μὴ ἐτῶν ιη' (ιε' Aldin.) εἶεν.

« Ψῆφον intellige gentiliciorum et curialium judicum, non publicorum in dicasteriis forensibus : οἱ ἐγγραφόμενοι sunt ii, qui olim in κοινὸν γραμματεῖον relati erant. » Boeckh. De ephebia Attica in Indice lectionum univers. Berolin. æstiv. 1819, p. 4. — (ιε') Schœmannus Antiq. p. 208 : « Quod autem nonnulli eos qui parvuli inscripti essent, postquam ad pubertatem pervenissent, circiter quinto decimo ætatis anno iterum producendos, examinandos et

lum consulerent. Tandem eos misisse primum quidem mari Anchimolium; deinde, Anchimolio repulso, iratos emisisse cum majori exercitu regem Cleomenem. Hunc, Thessalis (*qui Pisistratidis auxilia ferebant*) prœlio victis, in Atticam invasisse, atque Hippiam muro Pelasgico inclusum obsedisse usquedum filios Pisistratidarum exeuntes cepissent.

18.

Aristoteles de Clisthene dicit : « Constituit demarchos eadem munia quæ olim naucrari obeuntes; etenim demos naucrariarum loco fecerat. »

Demarchus magistratus quidam erat. (Cujusvis pagi Attici princeps vocabatur demarchus.) Hi agros et loca ad singulos pagos pertinentes inscribebant, tabulas lexiarchicas custodiebant, pagosque, quum res postularet, convocabant. Hos Aristoteles ait in Athen. Rep. Clisthenem instituisse eadem habentes munia quæ antea habuerant naucrari.

19.

Avi vel aviæ pater, est proavus, quem etiam τριτοπάτορα, *tertium patrem*, dicere liceret, secundum Aristotelem.

Aristoteles dicit examen subire et gentiliciorum suffragiis approbandos esse juvenes, qui exacto vitæ anno duodevicesimo in demi sui albo inscribantur.

in tabulis quibusdam inscribendos fuisse volunt, hac de re, quum veteres probatique testes sileant, nobis non satis liquere profitemur. » Cf. eundem Schœmannum l. l. p. 198.

20.

Harpocration v. Περίπολος : Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων φησὶν οὕτως· « Τὸν δεύτερον ἐνιαυτὸν ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης ἀποδεξάμενοι τῷ δήμῳ περὶ (lege παρὰ τοῦ δήμου ex Suida) τὰς τάξεις καὶ λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου περιπολοῦσι τὴν χώραν καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. » Παρατηρητέον οὖν ὅτι μὲν ὁ Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους, ὁ δὲ Αἰσχίνης (Περὶ παραπρεσβ. § 167) δύο.

Eadem Suidas et Photius. Verba ἀποδεξάμενοι ... τάξεις καὶ omitt. cod. D. et Photius. V. Bœckh. l. l. p. 5 sqq.; Clinton. F. H. tom. II, p. 362. Hermann. § 123, 8; Schœmann. Antiq. p. 198 sq. Ceterum errat procul dubio grammaticus ex loco allato colligens Aristotelem putasse juvenes per unum tantum annum circuitorum munere functos esse. Verba τὸν δεύτερον ἐνιαυτόν intellexerit annum secundum τῆς ἥβης, per eumque juvenes peripolos fuisse putaverit. Intelligenda autem verba sunt de concione quæ habebatur exeunte τῆς ἥβης biennio, quod excipiebat alterum biennium τῶν περιπόλων.

21.

Idem : Ὅτι νόμος ἐστὶν ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισὶν, Αἰσχίνης τε ἐν τῷ κατὰ Τιμάρχου (c. 5) φησὶ καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Photius et Suidas eadem, testium nominibus omissis.

22.

Idem : Πρόεδροι ἐκληροῦντο τῶν (ὑπὸ τῶν em. Vales. cum Lex. Rhet.) πρυτάνεων καθ' ἑκάστην πρυτανείαν (l. ἐκκλησίαν) εἷς ἐξ ἑκάστης φυλῆς πλὴν τῆς πρυτανευούσης, οἵτινες τὰ περὶ τὰς ἐκκλησίας διῴκουν. Ἐκαλοῦντο δὲ πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. Πολλάκις δ' ἐστὶ τοὔνομα παρὰ τοῖς ῥήτορσιν, ὡς καὶ παρὰ Δημοσθένει ἐν τῷ κατ' Ἀνδροτίωνος καὶ Αἰσχίνῃ ἐν τῷ κατὰ Κτησιφῶντος. Ὅτι δ' ὁ καλούμενος ἐπιστάτης κληροῖ αὐτοὺς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Καθ' ἑκάστην πρυτανείαν] κ. ἑ. ἐκκλησίαν em. Luzacus De Socrate cive p. 97, quod probatur ex Lex. Rhet. p. 290. Photius quoque duabus glossis v. Πρόεδροι eadem proferens, in altera habet ἐκκλησίαν, dum in altera est πρυτανείαν. Cf. schol. ad Demosthen. e cod. Bavarico, Orat. Gr. tom. II, p. 104 ed. Reisk.; schol. ad Æschin. C. Ctesiph. p. 247 sq. ed. Bekk. Pollux VIII, 96 : Ὅταν οἱ πρυτάνεις τὸν δῆμον ἢ τὴν βουλὴν συνάγωσιν, οὗτος (ὁ ἐπιστάτης) ἐξ ἑκάστης φυλῆς πρόεδρον ἕνα κληροῖ, μόνην τὴν πρυτανεύουσαν ἀφιείς. Suidas v. Πρόεδροι. Recentiorum libros laudat Hermann l. l. § 127, Schœmann. Antiq. p. 217, 9; De comitiis p. 85.

22 a.

Harpocration : Πρυτανείας· Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Ἔστι δὲ ἀριθμὸς ἡμερῶν ἡ πρυτανεία ἤτοι λς' ἢ λε', καὶ ἑκάστη φυλὴ πρυτανεύει. Διείλεκται δὲ περὶ τούτων Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Cf. Suidas v. Πρυτανείας.

23.

Idem : Ἐπιστάτης. Δύο εἰσὶν οἱ καθιστάμενοι ἐπιστάται, ὁ μὲν ἐκ πρυτάνεων κληρούμενος, ὁ δὲ ἐκ τῶν προέδρων, ὧν ἑκάτερος τίνα διοίκησιν διοικεῖ δεδήλωκεν ὁ Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Cf. Pollux VIII, 96 : Ἐπιστάτης δ' ἐστὶν εἷς τῶν πρυτάνεων, ὁ κλήρῳ λαχών. Δὶς δὲ οὐκ ἔξεστι γενέσθαι τὸν αὐτὸν ἐπιστάτην. Ἔχει δὲ οὗτος τῶν ἱερῶν τὰς κλεῖς, ἐν οἷς τὰ χρήματα καὶ τὰ γράμματα. Sequuntur quæ in antecedente fragm. adscripsi. — Suidas v. Ἐπιστάτης : Τῶν πρυτάνεων εἷς ὁ λαχὼν ἐπιστάτης ἐλέγετο. Δὶς δὲ τὸν αὐτὸν ἐπιστῆσαι οὐκ ἐξῆν. Φυλάσσει δὲ τοῦ ἱεροῦ τὰς κλεῖς, ἐν ᾧ τὰ δημόσια χρήματα,

---

20.

Περίπολος, circuitor. Aristoteles in Rep. Atheniensium, de ephebis verba faciens sic ait : « Altero anno concione in theatro convocata, ephebi, clypeo et hasta pro concione accepta, terram Atticam perlustrant et in castellis versantur. » Observa Aristotelem putare ephebos per annum in excubiis mansisse, Æschinem per biennium.

21.

Lex jubet ut puerorum choragi annum ætatis quadragesimum excesserint, uti Æschines in oratione contra Timarchum dicit, et Aristoteles in Rep. Atheniensium.

22.

Proedri a prytanibus, quoties nova habebatur ecclesia, sorte legebantur, ex qualibet tribu unus (excepta ea quæ prytaniam gerebat) : qui curabant ea quæ ad comitia populi pertinebant. Appellabantur autem πρόεδροι, quod primam præ reliquis sedem tenebant. Frequens nomen est apud oratores, ut apud Demosthenem in orat. contra Androtionem et apud Æschinem contra Ctesiphontem. Eum autem qui vocabatur ἐπιστάτης, proedros sorte legisse Aristoteles in Atheniensium rep. dicit.

23.

Duo constituti sunt Epistatæ, unus e prytanibus sorte lectus, alter ex proedris. De functionibus et horum et illorum exposuit Aristoteles in Rep. Atheniensium.

ἔτι μὲν (τὰ γράμματα addit Telephus ap. Eust.) καὶ τὴν δημοσίαν σφραγῖδα· ἐπειδὰν δὲ οἱ πρυτάνεις συναγάγωσι τὴν βουλὴν ἢ τὸν δῆμον, ὁ ἐπιστάτης κληροῖ προέδρους ἐννέα (τῆς πόλεως add. Teleph. l. l.) ἀπὸ φυλῆς ἑκάστης ἕνα, πλὴν τῆς πρυτανευούσης, καὶ πάλιν ἐκ τῶν ἐννέα τούτων ἐπιστάτην ἕνα κληροῖ καὶ τὸ πρᾶγμα παραδίδωσι· οὗτος δὲ εἰσάγει τὴν δίκην, καὶ ἐπιμελεῖται κατὰ νόμον πάντα γενέσθαι, καὶ μηδὲν παραλειφθῆναι πρὸς τὸ διδαχθῆναι τοὺς δικαστάς. Eadem hæc Eustathius ad Odyss. P, 455, e Telepho tradit, qui ipse sua sumpserit ex Aristotele. Cf. etiam Etym. M. s. v.

24.

Harpocration : Ὁ γραμματεὺς πῶς τε καθίστατο καὶ τί ἔπραττεν, ὡς τῶν γραμμάτων τ' ἐστὶ κύριος, καὶ τὰ ψηφίσματα τὰ γενόμενα φυλάττει, καὶ τὰ ἄλλα πάντα ἀντιγράφεται, καὶ παρακάθηται τῇ βουλῇ, δεδήλωκεν Ἀριστοτέλης ἐν Ἀθηναίων Πολιτείᾳ.

Cf. Pollux VIII, 98 : Γραμματεὺς ὁ κατὰ πρυτανείαν κληρωθεὶς ὑπὸ τῆς βουλῆς ἐπὶ τῷ τὰ γράμματα φυλάττειν καὶ τὰ ψηφίσματα, καὶ ἕτερος ἐπὶ τοὺς νόμους ὑπὸ τῆς βουλῆς χειροτονούμενος. Ὁ δὲ ὑπὸ τοῦ δήμου αἱρεθεὶς γραμματεὺς ἀναγινώσκει τῷ τε δήμῳ καὶ τῇ βουλῇ. — Suidas : Γραμματεύς· οὗτος πράξεως μὲν οὐδεμιᾶς ἦν κύριος, ὑπανεγίνωσκε δὲ τῇ βουλῇ καὶ τῷ δήμῳ τὰ πραττόμενα· ὁ δ' ἀντιγραφεὺς καὶ οὗτος ἀπὸ τοῦ γράφειν παρὰ τῇ βουλῇ ὠνόμασται. Lex. Rhet. ap. Bekk. An. p. 185. 226. Hermann. 127; Schœmann. Ant. p. 218.

25.

Idem : Ἀντιγραφεύς, ὁ καθιστάμενος ἐπὶ τῶν καταβαλλόντων τινὰ τῇ πόλει χρήματα, ὥστε ἀντιγράφεσθαι ταῦτα. Δημοσθένης ἐν τῷ κατ' Ἀνδροτίωνος (§ 70), καὶ Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος (§ 25). Διττοὶ δὲ ἦσαν ἀντιγραφεῖς, ὁ μὲν τῆς διοικήσεως, ὥς φησι Φιλόχορος (fr. 61), ὁ δὲ τῆς βουλῆς, ὡς Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ. Eadem ex parte Suidas s. v. Cf. Pollux VIII, 99 : Ἀντιγραφεύς, πρότερον μὲν αἱρετός, αὖθις δὲ κληρωτὸς ἦν. Καὶ πάντα ἀντεγράφετο παρακαθήμενος τῇ βουλῇ. Bekker. Anecd. I, p. 410. Hermann. l. l. 127, 18; Schœmann. l. l. p. 218, 16.

26.

Idem v. Πάρεδρος : Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί· « Λαμβάνουσι δὲ παρέδρους ὅ τε ἄρχων καὶ ὁ πολέμαρχος, δύο ἑκάτερος οὓς ἂν βούληται· καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν, καὶ εὐθύνας διδόασιν ἐπὰν παρεδρεύωσιν (παρεδρεύσωσι? Bekk.). Eadem Photius, Suidas.

Cf. Pollux VIII, 92 : Πάρεδροι δ' ὀνομάζονται οὓς αἱροῦνται ἄρχων καὶ βασιλεὺς καὶ πολέμαρχος, δύο ἕκαστος οὓς βούλεται. Δοκιμασθῆναι δ' αὐτοὺς ἐχρῆν ἐν τοῖς πεντακοσίοις, εἶτ' ἐν δικαστηρίῳ. Προσαιροῦνται δὲ καὶ γραμματέα, ὃς ἐννόμῳ δικαστηρίῳ κρίνεται. Ex his supplendus locus Harpocrat. Cf. Suidas, Photius, Hesych. s. v.; Hermann. § 138, 12; Schœmann. p. 245, 15.

27.

Idem : Εἰς ἐμφανῶν κατάστασιν, ὄνομα δίκης ἐστὶν ὑπὲρ τοῦ τὰ ἀμφισβητήσιμα εἶναι ἐν φανερῷ (ὑπὲρ τοῦ τὰ ἀμφισβητούμενα ἐν φανερῷ ποιῆσαι codd. D. E. et Suidas). Ἰσαῖος ἐν τῷ περὶ τοῦ Φιλοκτήμονος κλήρου. Ὁ δὲ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ πρὸς τὸν ἄρχοντά φησι λαγχάνεσθαι ταύτην τὴν δίκην, τὸν δὲ ἀνακρίνοντα (ἀνακριθέντα cod. N.) εἰσάγειν εἰς τὸ δικαστήριον.

Cf. Pollux VIII, 33 : Ἦν δὲ δίκη καὶ εἰς ἐμφανῶν κατάστασιν, ὁπότε τις ἐγγυήσαιτο ἢ αὐτόν τινα ἢ τὰ χρήματα. V. Meier. et Schœmann. *d. Att. Process* p. 663 et 374 sqq. In universum de causis ad archontis jurisdictionem pertinentibus v. Hermann. § 138.

27 a.

Idem : Δατεῖσθαι τὸ μερίζεσθαι, οἱ δὲ δατηταὶ οἱονεὶ μερισταί. Τὸ δὲ εἰς δατητῶν αἵρεσιν εἶδός τι δίκης ἐστίν· ὁπότε γὰρ κοινωνοῖέν τινες ἀλλή-

---

24.

De scribæ electione atque officio, quod tabularum penes eum potestas, et decretorum factorum custodia fuerit, ceteraque omnia contra scripserit ac senatui assederit, Aristoteles docuit in Rep. Atheniensium.

25.

Contrascriptor, qui præpositus est illis, qui civitati pecuniam solvunt, ut eam transcribat. Sic Demosthenes in oratione contra Androtionem, et Æschines contra Ctesiphontem. Erant autem bini, unus administrationis, ut ait Philochorus, alter senatus, ut Aristoteles dicit in Rep. Atheniensium.

26.

Aristoteles in Rep. Atheniensium scribit : « Archon et Polemarchus binos singuli assessores suo arbitratu sumunt; atque hi in judicio ante munus initum explorantur, et rationes reddunt munere functi. »

27.

Εἰς ἐμφανῶν κατάστασιν, *manifestatio vel actio ad exhibendum,* litis nomen est quæ ob id intendebatur, ut ea, de quibus esset controversia, in apertum producerentur. Isæus in oratione de hereditate Philoctemonis. Aristoteles vero in Rep. Atheniensium dicit apud archontem hanc actionem intendi, qui re excussa in forum eam introducat.

27 a.

Δατεῖσθαι, dividere, δατηταὶ vero quasi divisores. Porro εἰς δατητῶν αἵρεσιν, *ad divisorum electionem*, est judicii forma. Quoties enim ex iis qui societatem coiissent, com-

λοις, καὶ οἱ μὲν βούλοιντο διανέμεσθαι τὰ κοινά, οἱ δὲ μή, ἐδικάζοντο οἱ βουλόμενοι τοῖς μὴ βουλομένοις προκαλούμενοι εἰς δατητῶν αἵρεσιν. Λυσίας ἐν τῷ πρὸς Ἀλεξίδημον, εἰ γνήσιος, καὶ Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ. Cf. Pollux VIII, 136.

Etym. M. : Δατητής, παρὰ Ἀττικοῖς ὁ διανεμητής. Ἀριστοτέλης.

Lex. Rhetor. p. 567, 28 : Εἰς δατητῶν [αἵρεσιν], πρόκλησις νεμέσεως ἢ κληρονομίας ἢ κοινοῦ τινὸς ἀγορασμοῦ· [δατηταὶ γὰρ] ἐπὶ τῶν διανεμόντων τὰ κοινά τισιν, ὡς Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ· « Δίκαι λαγχάνονται πρὸς τὸν ἄρχοντα ἄλλαι τινὲς καὶ ἡ εἰς δατητῶν αἵρεσιν, ὅταν [ὁ μὲν θέλῃ, ὁ δὲ] μὴ θέλῃ τὰ κοινὰ ὄντα νέμεσθαι. »

Sic locum constituit Meierus (Fragm. Lex. Rhet. Hal. 1844, p. 13). Codex : Εἰς δατητὸν πρόκλησις... ἀγορασμοῦ ἐπὶ τῶν... λαγχάνονται πρὸς τὸν ἄρχοντα ἀλλ' εἴ τις καὶ ἐς δατητῶν αἵρεσιν, ὅταν μὴ θέλῃ κοινὰ τὰ ὄντα νέμεσθαι. Præterea Meierus : « Pro ἀγορασμοῦ, quod hic non emendi actum, sed rem emptam significat, malis forsitan ἄλλου, verum ea voce comprehenduntur omnia quæcunque non hereditate ad duorum pluriumve commune dominium perveniant; etenim post hereditatem emptio inprimis causa communis dominii esse solet. »

Ceterum de archontis officiis ita Pollux VIII, 89 : Ὁ δὲ ἄρχων διατίθησι μὲν Διονύσια καὶ Θαργήλια μετὰ τῶν ἐπιμελητῶν· δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται κακώσεως, παρανοίας, εἰς δατητῶν αἵρεσιν, ἐπιτροπῆς ὀρφανῶν, ἐπιτρόπων καταστάσεις, κλήρων καὶ ἐπικλήρων ἐπιδικασίαι· ἐπιμελεῖται δὲ καὶ τῶν γυναικῶν, αἳ ἂν φῶσιν ἀπ' ἀνδρὸς τελευτῆς κύειν· καὶ τοὺς οἴκους ἐκμισθοῖ τῶν ὀρφανῶν. Ἔστι δὲ ἐπώνυμος οὗτος, καὶ ἀπ' αὐτοῦ ὁ χρόνος ἀριθμεῖται.

27 b.

Harpocration : Ἐπιμελητὴς τῶν μυστηρίων παρ' Ἀθηναίοις ὁ λεγόμενος βασιλεύς... Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ φησὶν οὕτως· « Ὁ δὲ βασιλεὺς πρῶτον μὲν τῶν μυστηρίων ἐπιμελεῖται μετὰ τῶν ἐπιμελητῶν, οὓς ὁ δῆμος ἐχειροτόνει (l. χειροτονεῖ), β' μὲν ἐξ Ἀθηναίων ἁπάντων, ἕνα δ' ἐξ Εὐμολπιδῶν, ἕνα δ' ἐκ Κηρύκων. »

Cf. Pollux VIII, 90 : Ὁ δὲ βασιλεὺς μυστηρίων προέστηκε μετὰ τῶν ἐπιμελητῶν, καὶ Ληναίων καὶ ἀγώνων τῶν ἐπὶ λαμπάδι· καὶ τὰ περὶ τὰς πατρίους θυσίας διοικεῖ. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται ἀσεβείας, ἱερωσύνης, ἀμφισβητήσεως· καὶ τοῖς γένεσι καὶ τοῖς ἱεροῖσι πᾶσιν αὐτὸς δικάζει, καὶ τὰς τοῦ φόνου δίκας εἰς Ἄρειον πάγον εἰσάγει, καὶ τὸν στέφανον ἀποθέμενος σὺν αὐτοῖς δικάζει. Προαγορεύει δὲ τοῖς ἐν αἰτίᾳ ἀπέχεσθαι μυστηρίων καὶ τῶν ἄλλων νομίμων· δικάζει δὲ καὶ τὰς τῶν ἀψύχων δίκας. Τὴν δὲ συνοικοῦσαν αὐτῷ βασίλισσαν καλοῦσιν.

28.

Harpocration : Πολέμαρχος, ἀρχή τις ἦν παρ' Ἀθηναίοις οὕτω καλουμένη. Ἔστι δὲ εἷς τῶν ἐννέα ἀρχόντων. Ἀριστοτέλης δ' ἐν τῇ Ἀθηναίων πολιτείᾳ διεξελθὼν ὅσα διοικεῖ ὁ πολέμαρχος, « Πρὸς ταῦτα, φησίν, αὐτός τε εἰσάγει δίκας τάς τε ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων τοῖς μετοίκοις, καὶ τἄλλα ὅσα τοῖς πολίταις ὁ ἄρχων, ταῦτα τοῖς μετοίκοις ὁ πολέμαρχος. »

Eadem, missa Aristotelis mentione, ex Harpocr. Suidas et Photius v. Πολέμαρχος; hinc migrarunt in schol. Aldin. ad Aristoph. Vesp. 1042.

Eundem Aristotelis locum iterum Harpocration tangit v. Ἀπροστασίου : Ἀποστασίου δίκη τίς ἐστι κατὰ τῶν ἀπελευθερωθέντων δεδομένη τοῖς ἀπελευθερώσασιν, ἐὰν Ἀφιστῶνταί τε ἀπ' αὐτῶν ἢ ἕτερον ἐπιγράφωνται προστάτην, καὶ ἃ κελεύουσιν οἱ νόμοι μὴ ποιῶσιν. Καὶ τοὺς μὲν ἁλόντας δεῖ δούλους εἶναι, τοὺς δὲ νικήσαντας τελέως ἤδη ἐλευθέρους... Ἀριστοτέλης δ' ἐν Ἀθηναίων πολιτείᾳ περὶ τοῦ πολεμάρχου γράφει τουτί· « Οὗτος δὲ εἰσάγει δίκας τάς τε τοῦ ἀποστασίου καὶ ἀπροστασίου καὶ κλήρων καὶ ἐπικλήρων. » Cf. Idem. v. Ἡγεμονία δικαστηρίου.

Cf. Pollux VIII, 91 : Ὁ δὲ πολέμαρχος θύει μὲν Ἀρτέμιδι ἀγροτέρᾳ καὶ τῷ Ἐνυαλίῳ, διατίθησι δὲ τὸν ἐπιτάφιον ἀγῶνα τῶν ἐν πολέμῳ ἀποθανόντων, καὶ τοῖς περὶ Ἁρμόδιον ἐναγίζει. Δίκαι δὲ πρὸς αὐτὸν λαγχάνονται μετοίκων, ἰσοτελῶν, [ξένων, add. Meier.] προξένων· καὶ διανέμει τὸ λαχόν, ἑκάστῃ φυλῇ τι μέρος· τὸ μὲν διαιτηταῖς παραδιδούς, εἰσάγων δὲ δίκας ἀποστασίου, ἀπροστασίου, κλήρων, μετοίκων. — Photius

---

munem rem dividere volebant, litem intendebant iis qui recusabant, in jus vocantes ad divisorum electionem. Lysias in oratione contra Alexidemum, si modo genuina est, et Aristoteles in Rep. Athen.

Δατητής apud Atticos vocatur divisor, teste Aristotele.

Aristoteles in Republ. Atheniensium : « Actiones ad archontem pertinent tum aliæ quædam tum ea quæ dicitur : « ad divisorum electionem, » si alter vult, alter non vult ea quæ communia sunt dividere. »

27 b.

Curator mysteriorum apud Athen. erat ὁ βασιλεὺς (rex sacrorum). Aristoteles in Rep. Athen. sic ait : « Rex curat primum mysteria cum curatoribus, qui a populo creantur numero quattuor, duo ex omnibus civibus Atheniensibus, tertius ex Eumolpidis, quartus e Cerycibus. »

28.

Polemarchus, magistratus erat Athenis, unus de novem archontibus. Aristoteles in Rep. Atheniensium, quæ polemarchus administret persecutus : « Ad hæc, inquit, Polemarchus introducit causas detrectati et neglecti patrocinii et hereditatum et pupillarum heredum inquilinis; et omnino quodcunque archon civibus, id præstat inquilinis polemarchus. »

v. Πολέμαρχος (glossa altera) : Οὗτος τὸ μὲν παλαιὸν τῶν ἐν πολέμοις ἡγεῖτο· ἀφ' οὗ καὶ τὴν κλῆσιν ἔχει· ὕστερον δὲ τῆς ἡγεμονίας ἐκείνης ἀφαιρεθεὶς, προειστήκει μὲν τῶν τε ξένων καὶ τῶν μετοίκων· οὐχ ἤμειψε δὲ τὴν κλῆσιν. Vide Schœmann. l. l. p. 244, 7. 260, 29; Hermann. § 138, 8.

29.

Tenedus, una ex Sporadibus insulis... Est etiam proverbium *Tenedius tibicen* de iis qui falsa testantur. Tibicinem enim Philonome ad Cycnum duxit, qui testabatur Tennen voluisse Philonomæ vim inferre. Est etiam aliud proverbium *Tenedia securis* de iis qui vel aspere vel nimis concise abscidunt quæstiones et res reliquas. Ac inquit Aristides et alii Tenedium Apollinem securim tenere propter ea quæ acciderunt Tennæ, vel potius, ut inquit Aristoteles in Tenediorum rep., quod rex quidam legem in Tenedo tulerit, qua jubebatur deprehensos adulteros securi utrosque occidi. Quoniam vero accidit ut ipsius filius deprehenderetur in adulterio, jussit etiam ut contra ipsius filium lex servaretur. Eo occiso in proverbium res venit, de iis quæ crudeliter fiunt. Quamobrem inquit et in numismate Tenediorum sculptam fuisse ex una parte securim, ex altera duo capita in memoriam ejus, quod filio acciderat. Est etiam aliud proverbium, *Tenedius advocatus*, qui est severus et durus.

170 a.

[Magna turba est portitorum in Tenedo.]

ΣΑΜΟΘΡᾼΚΩΝ.

171.

Schol. Apoll. Rhod. I, 917 : Ἡ δὲ Σαμοθράκη ἐκαλεῖτο πρότερον Λευκωσία, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Σαμοθράκης πολιτείᾳ· ὕστερον δὲ ἀπὸ Σάου τοῦ Ἑρμοῦ καὶ Ῥήνης παιδὸς Σάμος προσωνομάσθη, κατὰ παρένθεσιν τοῦ μ. Θρᾳκῶν δὲ οἰκησάντων αὐτὴν, ἐκλήθη Σαμοθράκη.

Λευκόσια schol. antiquiora, Λευκώνια ap. Eustath. ad Il. p. 1340, 14. Λευκανία ap. Heraclid. Pont. c. 21. Similiter Italica insula aliis dicitur Λευκωσία, aliis Λευκασία, v. Steph. Thes. s. v. — De ratione nominum Σάος, Σάμος, Ῥήνη egit Welcker. *Æsch. Trilog.* p. 217 sq. cf. Müller *Min.* p. 450 sqq.

[ΜΥΤΙΛΗΝΑΙΩΝ.]

[172.]

[Aristot. Pol. III, 9, 6 : Ἦρχον δὲ οἱ μὲν (sc. αἰσυμνῆται) διὰ βίου τὴν ἀρχὴν ταύτην, οἱ δὲ μέχρι τινῶν ὡρισμένων χρόνων ἢ πράξεων, οἷον εἵλοντό ποτε Μυτιληναῖοι Πιττακὸν πρὸς τοὺς φυγάδας, ὧν προειστήκεσαν Ἀντιμενίδης καὶ Ἀλκαῖος ὁ ποιητής. Δηλοῖ δ' Ἀλκαῖος ὅτι τύραννον εἵλοντο τὸν Πιττακὸν ἔν τινι τῶν σκολιῶν μελῶν· ἐπιτιμᾷ γὰρ ὅτι « τὸν κακοπάτριδα Πιττακὸν πόλεως τᾶς ἀχόλω καὶ βαρυδαίμονος ἐστάσαντο τύραννον μέγ' ἐπαινέοντες ἀολλέες. »

Ib. II, 9, 9 : Ἐγένετο δὲ καὶ Πιττακὸς νόμων δημιουργὸς, ἀλλ' οὐ πολιτείας· νόμος δ' ἴδιος αὐτοῦ τὸ τοὺς μεθύοντας, ἂν τυπτήσωσι, πλείω ζημίαν ἀποτίνειν τῶν νηφόντων· διὰ γὰρ τὸ πλείους ὑβρίζειν μεθύοντας ἢ νήφοντας οὐ πρὸς τὴν συγγνώμην ἀπέβλεψεν, ὅτι δεῖ μεθύουσιν ἔχειν μᾶλλον, ἀλλὰ πρὸς τὸ ξυμφέρον (Spuria hæc esse videntur).

Ib. V, 8, 13 : Πολλοὶ δὲ καὶ διὰ τὸ εἰς τὸ σῶμα αἰκισθῆναι πληγαῖς ὀργισθέντες, οἱ μὲν διέφθειραν, οἱ δ' ἐνεχείρισαν, ὡς ὑβρισθέντες, καὶ τῶν περὶ τὰς ἀρχὰς καὶ βασιλικὰς δυναστείας. Οἷον ἐν Μυτιλήνῃ τοὺς Πενθιλίδας Μεγακλῆς περιιόντας καὶ τύπτοντας ταῖς κορύναις, ἐπιθέμενος μετὰ τῶν φίλων ἀνεῖλε. Καὶ ὕστερον Σμέρδης Πενθίλον πληγὰς λαβὼν καὶ παρὰ τῆς γυναικὸς ἐξελκυσθεὶς διέφθειρε.

Ib. V, 3, 3 : Περὶ Μυτιλήνην δὲ ἐξ ἐπικλήρων στάσεως γενομένης πολλῶν ἐγένετο ἀρχὴ κακῶν καὶ τοῦ πολέμου τοῦ πρὸς Ἀθηναίους, ἐν ᾧ Πάχης ἔλαβε τὴν πόλιν αὐτῶν. Τιμοφάνους γὰρ τῶν εὐπόρων τινὸς καταλιπόντος δύο θυγατέρας, ὁ περιωσθεὶς καὶ οὐ λαβὼν τοῖς υἱέσιν αὐτοῦ Δόξανδρος ἦρξε τῆς στάσεως καὶ τοὺς Ἀθηναίους παρώξυνε, πρόξενος ὢν τῆς πόλεως.

Ib. III, 8, 4 : Athenienses Lesbios, uti Samios et Chios ἐταπείνωσαν παρὰ τὰς συνθήκας.]

[ΑΝΤΙΣΣΑΙΩΝ.]

[173.]

[Aristot. Pol. V, 2, 11 : Ἀντισσαῖοι τοὺς Χίων φυγάδας εἰσδεξάμενοι διὰ μάχης ἐξέβαλον.]

[ΧΙΩΝ.]

[174.]

[Id. Pol. V, 5, 11 : Πολλαὶ δὲ καὶ διὰ τὸ ἄγαν δεσπο-

SAMOTHRACUM.

171.

Samothrace olim Leucosia appellabatur, uti narrat Aristoteles in Samothracum rep. Postea de Sao Mercurii et Rhenes filio Samos nuncupata est, interposita litera *m*. Quum vero Thraces eam jam habitarent, vocata est Samothrace.

[MYTILENÆORUM.]

[172.]

[Æsymnetæ imperium obtinebant alii per omnem vitam, alii usque ad præfinitum tempus et ad certas res gerendas; verbi gratia, optarunt quondam Mytilenæi Pittacum adversus exules, quorum duces erant Antimenides et Alcæus poeta. Declarat autem ipse Alcæus in quodam carmine scolio Pittacum a Mytilenæis tyrannum esse sumptum; iis enim vitio vertit quod perniciosum Pittacum, laudibus in cœlum ferentes, universi afflictæ et infelici civitati tyrannum imposuerint.

Fuit et Pittacus legum quidem opifex, sed non reipublicæ administrandæ. Lex autem ejus propria est, ut si quid ebrius peccaverit, graviores pœnas det, quam si siccus. Propterea enim quod frequentior ebriorum contumelia sit quam sobriorum, non tam ignoscendi rationem ab ebrietate repetendam spectavit quam utilitatem.

Multi etiam propterea quod corpore verbera pertulissent irati, tanquam accepta contumelia, summos magistratus et principes cum regia potestate aut occiderunt aut adorti sunt. Ut Mytilenis Megacles, facta cum amicis conspiratione, Penthilidas qui circumeuntes clavis quemque cædebant, interemit. Et postea Smerdis Penthilum, plagis ab eo acceptis et ab uxore extractus, necavit.

Mytilenæis nata ex puellis orbis et patrum locupletium hæredibus, seditio, multorum malorum et belli cum Atheniensibus suscepti, in quo Paches Atheniensium imperator urbem cepit, principium fuit. Nam quum Timophanes quidam, unus ex locupletibus, duas filias superstites reliquisset, Doxanderque qui eas filiis suis uxores poposcisset, repulsam tulisset, seditionis auctor fuit, et Athenienses contra patriam concitavit, quorum civitatis erat proxenus.

Athenienses Lesbios, ut Samios et Chios contra pacta depresserunt.]

[ANTISSÆORUM.]

[173.]

[Antissæi Chiorum exules in civitatem receptos signis collatis ejecerunt.]

[CHIORUM.]

[174.]

[Multæ oligarchiæ, quia nimis erant sævæ, et domino-

τικὰς εἶναι τὰς ὀλιγαρχίας ὑπὸ τῶν ἐν τῇ πολιτείᾳ τινῶν δυσχερανάντων κατελύθησαν, ὥσπερ ἡ ἐν Κνίδῳ καὶ ἡ ἐν Χίῳ ὀλιγαρχία.

Id. IV, 4, 1 : Τὸ ἐμπορικὸν ἐν Αἰγίνῃ καὶ Χίῳ (πολύοχλόν ἐστιν).

Ib. III, 8, 4, v. fr. 172; V, 2, 11, v. fr. 173.

ΣΑΜΙΩΝ.

175.

Plinius H. N. V, 37 : *Ioniæ ora habet... Samon : Partheniam primum appellatam Aristoteles tradit, postea Dryusam, deinde Anthemusam.* Cf. Heraclid. Resp. Sam. fr. 10, 1, Callimach. in Del. 45, Strabo X, p. 457; XIV, p. 637, Steph. Byz. v. Σάμος. Plura dat Panofka (Res Samiorum p. 8 sq.).

176.

Schol. Apollon. Rh. I, 188 : Παρθενίης Ἀγκαῖος· Ἀριστοτέλης φησὶ περὶ Ἀγκαίου, ὅτι φιλογέωργος ὤν, καὶ φυτεύων ἀμπελῶνα, βαρὺς ἐπέκειτο τοῖς οἰκέταις. Εἷς δὲ τῶν οἰκετῶν ἔφη μὴ μεταλήψεσθαι τὸν δεσπότην τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος, ἐπειδὴ ὁ καρπὸς ἐφθάκει, χαίρων ἐτρύγα, καὶ τὸν οἰκέτην ἐκέλευε κεράσαι αὐτῷ. Μέλλων δὲ τὴν κύλικα προσφέρειν τῷ στόματι, ὑπεμίμνησκεν αὐτοῦ τοῦ λόγου. Ὁ δὲ ἔφη· Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου. Τούτων ἔτι λεγομένων, ἧκέ τις ἀγγέλλων, ὡς ὑπερμεγέθης σῦς λυμαίνεται τὸν ὄρχατον. Ὁ δὲ Ἀγκαῖος ἀποβαλὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε· καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησεν. Ὅθεν ἡ παροιμία ἐπὶ τῶν παρὰ προσδοκίαν τι πραττόντων.

Tzetz. Lyc. 488 : Ὁ γὰρ Ἀγκαῖος οὗτος, υἱὸς ὢν Ποσειδῶνος καὶ Ἀστυπαλαίας, τῆς Φοίνικος, ἐφύτευσεν ἄμπελον, κατὰ Ἀριστοτέλη τὸν τοὺς Πέπλους (τὸν Πέπλουν codd. duo) συντάξαντα. Μάντις δέ τις εἶπεν αὐτῷ, ὡς οὐ πίοι οἶνον ἐκ ταύτης. Ἐνηνοχυίας δὲ τῆς ἀμπέλου καρπὸν, ἀπέθλιψεν ὁ Ἀγκαῖος τὴν σταφυλὴν εἰς ἀγγεῖον, ἤγουν κύλικα, ὡς πιόμενος, καὶ κατεγέλα τοῦ μάντεως, δεικνύων τὴν κύλικα· ὁ δ' ἔφη·

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

Βοῆς δὲ γενομένης, ὡς συὸς λυμαινομένου τὴν χώραν, θεὶς τὴν κύλικα ὁ Ἀγκαῖος, ἐξῆλθεν ἐπὶ τὸν σῦν, καὶ πρῶτος ἀνῃρέθη ὑπ' αὐτοῦ.

Peplum Aristotelis Tzetzes h. l. non meliore jure adduxerit quam supra fr. 115, etsi legi historia in Peplo poterat. Eadem narrat Heraclides Rep. Sam. fr. 10, 2. Schol. Hom. Od. X, 9; Zenob. V, 71; Diogenian. VII, 46; Gregor. Cypr. III, 38; Apostol. XVI, 28; Athenæus XI, p. 478, E; Gellius N. A. XIII, 17; Stobæus Flor. CXI, 14; Boisson. An. II, 450, citante Leutschio in Parœmiogr. tom. I, p. 148 sq.

Apud Heraclidem deinceps memoratur hirundo alba, quæ in Samo apparuerit. Prodigium hoc cum nescio qua historia conjunctum ex Aristotelis Rep. Samiorum, ut videtur, narrat Ælianus N. An. XVII, 20 : Ἀριστοτέλης λέγει γίνεσθαι (γενέσθαι?) ἐν Σάμῳ λευκὴν χελιδόνα.

177.

Ælianus N. An. XII, 40 : Τιμῶσι δὲ ἄρα Δελφοὶ μὲν λύκον, Σάμιοι δὲ πρόβατον... Τὰ δὲ αἴτια τῆς ἑκάστου τιμῆς εἰπεῖν οὐκ ἔστιν ἔξω τῆσδε τῆς σπουδῆς. Δελφοῖς μὲν χρυσίον ἱερὸν σεσυλημένον καὶ ἐν τῷ Παρνασσῷ κατορωρυγμένον ἀνίχνευσεν ὁ λύκος· Σαμίοις δὲ καὶ αὐτοῖς τοιοῦτο χρυσίον κλαπὲν πρόβατον ἀνεῦρε καὶ ἐντεῦθεν Μανδρόβουλος ὁ Σάμιος τῇ Ἥρᾳ πρόβατον ἀνάθημα ἀνῆψεν. Καὶ τὸ μὲν Πολέμων λέγει τὸ πρότερον, τὸ δὲ Ἀριστοτέλης τὸ δεύτερον. De lupo Delphico v. Pausanias X, 14, 4; de ove Samia cf. Clem. Alex. Protr. p. 11 Sylb. : Πρόβατον, ὥς φησιν Εὐφορίων (fr. 123 ed. Meinek.), σέβουσι Σάμιοι. — ἐντεῦθεν] Aliter Ephorus (fr. 161), ubi Mandrobulus aureum arietem dedicasse dicitur propterea quod reperisset τὸ ἐν Σάμῳ γεωφάνιον. [Laudatur ibi Ἔφορος περὶ χωρίων θ', pro quo Boissonad. Epimer. Herodian. ingeniose proposuit Ἐφ. ἐν ἐπιχωρίῳ; sed delenda omnino v. περὶ χωρίων (καὶ χωρίον alius cod.). Aperte enim vox χωρίων irrepsit ex sequente glossa Harpocrationis : Γήτεδον, τὸ χωρίον, pro quibus quattuor codd.

---

rum in servos imperiis similes, a quibusdam rempublicam communiter administrantibus, talem dominatum ægre ferentibus eversæ sunt, quemadmodum in Cnido et Chio accidit.

In Ægina et Chio mercatorum magna turba est.

SAMIORUM.

176.

Ancæus, uti Aristoteles narrat, vir agriculturæ studiosus, quum vitem plantabat, durus instabat servis. Quorum unus dominum non fruiturum fructu dixit. Ancæus vero, uvis maturatis, lætus vindemiavit, jussitque servo ut vinum ipsi misceret. Jamque ori poculum admoturus dictum ei in memoriam revocavit. Ille autem, *Multum*, inquit, *inter poculum est labraque summa.* Quibus dictis, ecce, accurrit aliquis nuntians hortum ab apro ingente devastari. Igitur Ancæus, misso poculo, contra aprum egreditur, ab eoque ictus perit. Inde proverbium de iis, quibus contra exspectationem aliquid accidit, usurpatur.

177.

Lupum Delphi colunt, Samii ovem venerantur... Causas autem quamobrem hujusmodi bestias divini cultus honore prosequantur, non alienum est explicare. Delphis aurum sacrum furto direptum et in Parnasso defossum, sicut dicit Polemo, investigavit lupus; Samiis item aurum furto sublatum ovis invenit; quare Mandrobulus Samius Junoni ovem consecravit, ut Aristoteles tradit.

turbate : γήπεδον, ἔφορος καὶ χωρίον.] Cleophontis fabulam Μανδρόβουλος inscriptam memorat Aristoteles Soph. Elench. 15, 5 p. 174, 27 Bekk. (vide Fragm. poet. trag. p. 100 ed. Wagner.) Nostro loco nescio cur Prellerus ad Polem. p. 59 Aristoteli substituere voluerit Aristidem Milesium. Contra idem ap. Clem. Alex. Strom. I, p. 352 pro Aristarcho et Theopompo, Pythagoram Tyrrhenum fuisse dicentibus, reponi vult Aristotelem et Theophrastum.

178.

Schol. Aristophan. Av. 471 : Διὰ σπουδῆς εἶχον τὸν Αἴσωπον. Καὶ Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ εἰπόντα φησὶν αὐτὸν μῦθον ηὐδοκιμηκέναι. Cf. Heraclides in Samior. Rep. 10, ubi quæ de Asopo leguntur iisdem verbis etiam ap. schol. nostrum l. l. exstant.

179.

Zenob. VI, 12 : Τὸ περὶ Δρῦν σκότος · Ἀριστοτέλης φησὶν ἐν τῇ Σαμίων πολιτείᾳ, Πριηνέας πολλοὺς ὑπὸ Μιλησίων ἀναιρεθῆναι περὶ τὴν καλουμένην Δρῦν· ὅθεν καὶ τὰς Πριηνείας γυναῖκας ὀμνύναι τὸ περὶ Δρῦν σκότος. Cf. Apostol. Prov. XVII, 25.

Plutarch. Qu. Gr. c. 20, p. 295, F : « Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ Δρυῒ σκότος; » Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης, χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν· ἑβδόμῳ δὲ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην Δρῦν, τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. Ταῖς δὲ Πριηνέων γυναιξὶν ὁμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων, Ὁ παρὰ τῇ Δρυῒ σκότος, διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας ἐκεῖ φονευθῆναι. V. Panofka Res Sam. p. 38. Mæandrius Milesius fr. 6.

[180.]

[Aristot. Pol. V, 9, 4 : Καὶ τοὺς πένητας ποιεῖν τοὺς ἀρχομένους, τυραννικόν... Παράδειγμα δὲ τούτου... καὶ τὰ περὶ Σάμον ἔργα Πολυκράτεια.]

181.

Photius Lex. v. Σαμίων ὁ δῆμος ὡς πολυγράμματος... Οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων ἐπέγραψαν τοῖς δούλοις ἐκ πέντε στατήρων τὴν ἰσοπολιτείαν, ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. Eadem Suidas s. v., Apostol. Prov. XVII, 25. Alias proverbii explicationes afferunt ex Duride et Andronis Tripode. Cf. Panofka l. l. p. 46. Fritsch. *De Babyloniis Aristophan.* p. 18 sqq.

[182.]

[Aristot. Pol. V, 1, 11 : Ζαγκλαῖοι δὲ Σαμίους ὑποδεξάμενοι ἐξέπεσον καὶ αὐτοί.] V. Herodot. VI, 23, ibiq. interpr.

183.

Plutarch. Pericles c. 26. Pericles ex classe Atheniensium, quæ Samum obsidebat, sexaginta naves assumpsit, cum iisque Asiam versus contendit, ut Phœnicibus, qui Samiis auxilium laturi erant, occurreret. Πλεύσαντος δ' αὐτοῦ, Μέλισσος ὁ Ἰθαγένους, ἀνὴρ φιλόσοφος, στρατηγῶν τότε τῆς Σάμου, καταφρονήσας τῆς ὀλιγότητος τῶν νεῶν ἢ τῆς ἀπειρίας τῶν στρατηγῶν, ἔπεισε τοὺς πολίτας ἐπιθέσθαι τοῖς Ἀθηναίοις. Καὶ γενομένης μάχης νικήσαντες οἱ Σάμιοι καὶ πολλοὺς μὲν αὐτῶν ἄνδρας ἑλόντες, πολλὰς δὲ ναῦς διαφθείραντες, ἐχρῶντο τῇ θαλάσσῃ καὶ παρετίθεντο τῶν ἀναγκαίων πρὸς τὸν πόλεμον ὅσα μὴ πρότερον εἶχον (Ol. 84, 4. a. C. 441). Ὑπὸ δὲ τοῦ Μελίσσου καὶ Περικλέα φησὶν αὐτὸν Ἀριστοτέλης ἡττηθῆναι ναυμαχοῦντα πρότερον.

178.

Aristoteles in Samiorum rep. Æsopum fabulas narrantem inclaruisse dicit.

179.

Aristoteles in Samiorum rep. dicit magnum Prienensium numerum ab Milesiis occisum esse prope locum quem Quercum vocant atque hinc Prienenses mulieres per tenebras apud Quercum jurare.

Quid sibi volunt tenebræ apud Quercum, quæ Prienæ memorantur? Samii et Prienenses, bello commisso, mediocribus invicem damnis se affecerunt : magno autem prœlio commisso Prienenses mille Samios trucidaverunt septimoque post anno cum Milesiis pugna congressi ad locum qui Quercus dicitur, optimos primosque civium amiserunt : quo tempore Bias Priene in Samum missus legatus claruit. Quum autem Prienenses mulieres calamitas hæc graviter perculisset, exsecratio et jusjurandum maximis de rebus constitutum est *per tenebras apud Quercum* : quod ibi liberi, parentes virique earum mortem oppetiissent.

[180.]

[Etiam cives spoliare bonis tyrannicum est. Hujus rei exemplum... opera publica Sami a Polycrate facta.]

181.

Samiorum populus multiliteratus. Samii enim a tyrannis ad incitas redacti, ob civium penuriam servorum frontibus jus civitatis quinque stateribus venale inscripserunt, ut Ar. in Samiorum rep. tradit.

[182.]

Zanclæi, quum Samios in civitatem suam recepissent, ipsi ab eis expulsi sunt.

183.

Avecto Pericle Melissus Ithagenis filius, philosophus, tunc Samiorum prætor, sive ob navium paucitatem, sive ob ducum imperitiam contemptis hostibus, suis persuasit ut Athenienses adorirentur : factoque prœlio, Samii victoria potiti sunt, multis hostium captis, multis navibus perditis, et deinde mare tenentes, ad bellum necessaria, quibus

Idem c. 28 : De crudelitate, qua Athenienses et Periclem in victos Samios sæviisse Duris narrat, nihil tradunt οὔτε Θουκυδίδης οὔτε Ἔφορος οὔτε Ἀριστοτέλης.

[Aristot. Pol. III, 8, 4 : Athenienses Samios, Chios et Lesbios ἐταπείνωσαν παρὰ τὰς συνθήκας.]

[ΚΩΩΝ.]

[184.]

[Aristot. Pol. V, 4, 2 : Ἐν Κῷ ἡ δημοκρατία μετέβαλε πονηρῶν ἐγγενομένων δημαγωγῶν· οἱ γὰρ γνώριμοι συνέστησαν.]

[ΡΟΔΙΩΝ.]

185.

[Idem V, 4, 2 : Καὶ ἐν Ῥόδῳ (sc. ἡ δημοκρατία μετέβαλε πονηρῶν ἐγγενομένων δημαγωγῶν)· μισθοφοράν τε γὰρ οἱ δημαγωγοὶ ἐπόριζον, καὶ ἐκώλυον ἀποδιδόναι τὰ ὀφειλόμενα τοῖς τριηράρχοις· οἱ δὲ διὰ τὰς ἐπιφερομένας δίκας ἠναγκάσθησαν συστάντες καταλῦσαι τὸν δῆμον.

V, 2, 5 : Διὰ δὲ φόβον στασιάζουσιν οἵ τε ἠδικηκότες, δεδιότες μὴ δῶσι δίκην, καὶ οἱ μέλλοντες ἀδικεῖσθαι, βουλόμενοι φθάσαι πρὶν ἀδικηθῆναι, ὥσπερ ἐν Ῥόδῳ συνέστησαν οἱ γνώριμοι ἐπὶ τὸν δῆμον διὰ τὰς ἐπιφερομένας δίκας.

V, 2, 6 : Διὰ καταφρόνησιν δὲ καὶ στασιάζουσι καὶ ἐπιτίθενται, οἷον... ἐν ταῖς δημοκρατίαις οἱ εὔποροι καταφρονήσαντες τῆς ἀταξίας καὶ ἀναρχίας... οἷον ἐν Ῥόδῳ ὁ δῆμος (διεφθάρη) πρὸ τῆς ἐπαναστάσεως.]

(ΣΙΝΩΠΕΩΝ.)

186.

Schol. Apoll. Rhod. II, 948 : Ἐν δὲ τοῖς Ὀρφικοῖς Ἄρεος καὶ Αἰγίνης γενεαλογεῖται ἡ Σινώπη, κατὰ δέ τινας Ἄρεος καὶ Παρνάσσης, κατ' Εὔμηλον καὶ Ἀριστοτέλην, Ἀσωποῦ· καὶ οὗτος μέν φησιν ὅτι Ἅλυν τε τὸν ποταμὸν ἐπλάνησε καὶ Ἀπόλλωνα καὶ Δία, αἰτησαμένη παρ' αὐτῶν πρότερον, ἵν' ἐπιτύχῃ οὗ ἂν ἐθέλοι· ἔπειτα εἰποῦσα παρθενίας ὀρέγεσθαι, ταύτης ἐπέτυχεν ὡς ἂν ὅρκῳ δεδεμένων αὐτῶν.

Secundum Philostephanum ap. schol. l. l. Sinope e Bœotia rapta Apollini parit Syrum filium. Indicatur genealogia Bœotos Sinopen habitasse, antequam Milesii coloniam eo mitterent. Id quod de aliis pluribus hujus tractus oppidis valet. Cf. Müller. *Min.* p. 294. Andron Teius fr. 2.

ΚΙΑΝΩΝ.

187.

Schol. Apoll. Rh. I, 1177 : Ἔστι δὲ (Κίος) πόλις Μυσίας, ἀπὸ Κίου τοῦ ἀφηγησαμένου τῆς Μιλησίων ἀποικίας, ὡς ἱστορεῖ Ἀριστοτέλης ἐν Κιανῶν πολιτείᾳ. Κατῴκησαν δὲ αὐτὴν πρῶτον Μυσοί, ἔπειτα Κᾶρες, τρίτον Μιλήσιοι.

Κίος (non Κῖος, v. Dindorf. in St. Thes. s. v.) sita prope Κίον fluvium ad orientalem oram sinus Cianei. V. Herodot. V, 122, Xenoph. H. Gr. I, 4, 7, Scylax § 92, Strabo XII, p. 563 sq., Mela I, 19, 4, Memnon. c. 41 not. Etym. M. s. v. Schol. Platon. p. 466 Bekker. Ceterum Straboni l. l. Cius, urbis conditor, Argonauta est et socius Herculis. Pro Cio Apollonius I, 1321 Polyphemum ponit. Cf. Müller. *Min.* p. 293.

Apud Photium cod. 161 Sopater inter fontes libri XII habuisse dicitur Aristotelis πολιτείαν Κίων : quod aut Κιανῶν fuerit, aut Κείων.

---

ante caruerant, advexerunt. Ipsum quoque Periclem ante prœlio navali victum a Melisso fuisse, Aristoteles scribit.

[Athenienses Samios, Chios et Lesbios contra pacta depresserunt.]

[COORUM.]

[184]

[In insula Co democratia mutata est, exortis in ea inprobis demagogis : nobiles enim coiverunt.]

[RHODIORUM.]

[185.]

[Item Rhodi (democratia mutata est, exortis in ea improbis demagogis); reditus enim ad mercedem transferebant, et triremium præfectis justa persolvere vetabant. Illi autem judiciorum intentato metu coacti sunt, coitione facta, populi potentiam evertere.

Propter metum seditionem commovent et qui injuriam fecerunt, ne dent pœnas, et qui suspicantur futurum, ut injuria afficiantur, volentes antevertere priusquam injuste lædantur, quemadmodum Rhodi nobiles in populum coierunt propter pœnarum metum.

Propter contemptum seditionem excitant et impetu facto in alios invadunt, ut... in democratiis locupletes contempta confusione et perturbatione rerum imperiique... Sic Rhodi popularis status labefactatus est ante secundam optimatium rebellionem.]

(SINOPENSIUM.)

186.

In Orphicis carminibus Martis et Æginæ filia fuisse Sinope dicitur, apud nonnullos Martis et Parnasses; apud Eumelum et Aristotelem Asopi. Ac hic quidem narrat eam decepisse et Halyn et Apollinem et Jovem. Petiverat enim ut primum ipsa iis quæ postularet potiretur; postulasse autem dicunt virginitatem, eamque obtinuisse, quum illi juramento obstricti tenerentur.

CIANORUM.

187.

Cius, Mysiæ urbs, nomen habet a Cio, qui Milesiorum

[ΗΡΑΚΛΕΩΤΩΝ ΤΩΝ ΕΝ ΠΟΝΤΩ.]

[188.]

[Aristot. Pol. V, 5, 5 : Demagogia facile laborant eæ oligarchiæ, in quibus τὰ δικαστήρια μὴ ἐκ τοῦ πολιτεύματός ἐστιν· δημαγωγοῦντες γὰρ πρὸς τὰς κρίσεις μεταβάλλουσι τὴν πολιτείαν, ὅπερ καὶ ἐν τῇ Ἡρακλείᾳ ἐγένετο τῇ ἐν τῷ Πόντῳ.

V, 5, 2 : Ὁτὲ μὲν γὰρ ἐξ αὐτῶν τῶν εὐπόρων, οὐ τῶν ὄντων δ' ἐν ταῖς ἀρχαῖς γίνεται κατάλυσις (sc. ὀλιγαρχίας), ὅταν ὀλίγοι σφόδρα ὦσιν οἱ ἐν ταῖς τιμαῖς, οἷον ἐν Μασσαλίᾳ καὶ ἐν Ἴστρῳ καὶ ἐν Ἡρακλείᾳ καὶ ἐν ἄλλαις πόλεσι συμβέβηκεν· οἱ γὰρ μὴ μετέχοντες τῶν ἀρχῶν ἐκίνουν, ἕως μετέλαβον; οἱ πρεσβύτεροι πρότερον τῶν ἀδελφῶν, ὕστερον δ' οἱ νεώτεροι πάλιν· οὐ γὰρ ἄρχουσιν ἐνιαχοῦ μὲν ἅμα πατήρ τε καὶ υἱὸς, ἐνιαχοῦ δὲ ὁ πρεσβύτερος καὶ ὁ νεώτερος ἀδελφός. Καὶ ἔνθα μὲν πολιτικωτέρα ἐγένετο ἡ ὀλιγαρχία, ἐν Ἴστρῳ δ' εἰς δῆμον ἀπετελεύτησεν, ἐν Ἡρακλείᾳ δ' ἐξ ἐλαττόνων εἰς ἑξακοσίους ἦλθε.

V, 5, 11 : Ἐκ δὲ δικαστηρίου κρίσεως ἐν Ἡρακλείᾳ στάσις ἐγένετο κτλ. Vide Resp. Theban. fr. 113.

V, 4, 2 : Κατελύθη δὲ καὶ ἐν Ἡρακλείᾳ ὁ δῆμος μετὰ τὸν ἀποικισμὸν εὐθὺς διὰ τοὺς δημαγωγούς· ἀδικούμενοι γὰρ ὑπ' αὐτῶν οἱ γνώριμοι ἐξέπιπτον, ἔπειτα ἀθροισθέντες οἱ ἐκπίπτοντες καὶ κατελθόντες κατέλυσαν τὸν δῆμον.

VII, 5, 7 : Πλήθους δὲ ὑπάρχοντος περιοίκων καὶ τῶν τὴν χώραν γεωργούντων, ἀφθονίαν ἀναγκαῖον εἶναι καὶ ναυτῶν· ὁρῶμεν δὲ καὶ τοῦτο καὶ νῦν ὑπάρχον τισὶν, οἷον τῇ πόλει τῶν Ἡρακλεωτῶν· πολλὰς γὰρ ἐκπληροῦσι τριήρεις κεκτημένοι τῷ μεγέθει πόλιν ἑτέρων ἐμμελεστέραν.]

[ΑΒΥΔΗΝΩΝ.]

[189.]

[Aristot. Pol. V, 5, 5 : Inter oligarchos facile demagogus exsistit ἐν ὅσαις ὀλιγαρχίαις οὐχ οὗτοι (sc. οἱ ἐν ὀλιγαρχίᾳ ὄντες) αἱροῦνται τὰς ἀρχὰς ἐξ ὧν οἱ ἄρχοντές εἰσιν, ἀλλ' αἱ μὲν ἀρχαὶ ἐκ τιμημάτων μεγάλων εἰσὶν ἢ ἑταιριῶν, αἱροῦνται δ' οἱ ὁπλῖται ἢ ὁ δῆμος, ὅπερ ἐν Ἀβύδῳ συνέβαινεν.

Id. V, 5, 9. V. Resp. Larissæorum. fr. 150.]

(ΑΝΤΑΝΔΡΙΩΝ)

190.

Stephan. Byz. : Ἄντανδρος, πόλις ὑπὸ τὴν Ἴδην πρὸς τῇ Μυσίᾳ τῆς Αἰολίδος, ἀπὸ Ἀντάνδρου τοῦ στρατηγοῦ Αἰολέων... Ἀριστοτέλης φησὶ ταύτην ὠνομάσθαι Ἠδωνίδα διὰ τὸ Θρᾷκας Ἠδωνοὺς ὄντας οἰκῆσαι καὶ Κιμμερίδα Κιμμερίων ἐνοικούντων ἑκατὸν ἔτη.

De Antandro, Pelasgorum Tyrrhenicorum urbe, v. Herodot. VII, 42; V, 26, Conon c. 41. Mela I, 18, 2. Müller. *Min.* p. 444, Welcker. *Trilog.* p. 201, n. 327. In universum cf. Strabo XIII, p. 606, Mannert *Geogr.* VI, 3, p. 418.

---

coloniam eo deduxit, uti tradit Aristoteles in Cianorum rep. Incoluere eam primum Mysi, deinde Cares, tertii Milesii.

[HERACLEOTARUM PONTICORUM.]

[188.]

[Demagogia facile laborant eæ oligarchiæ ubi rebus judicandis non præsunt ii qui rempublicam administrant. Colentes enim populum judiciorum gratia reipublicæ statum mutant, quod et Heracleæ, quæ in Ponto est, accidit.

Interdum enim ab ipsis divitibus, non iis tamen, qui provecti sunt ad magistratus, nascitur oligarchiæ interitus, quum valde pauci sunt ii qui honoribus fungantur, ut Massiliæ et Istri et Heracleæ et in aliis urbibus accidit. Nam qui magistratuum participes non erant, rebus novandis studuerunt, usque dum ipsi etiam participes facti sunt : fratres quidem majores natu prius, posterius vero iterum minores. Non enim magistratum simul obtinent in nonnullis locis pater et filius : in quibusdam frater natu major et minor. Atque Massiliæ quidem reipublicæ administratio politicæ similior facta est, Istri vero in democratiam evasit. At Heracleæ a paucioribus potentibus ad sexcentos translata est.

Seditio, quæ Heracleæ exarsit, ex judiciali sententia orta est.

Heracleæ quoque popularis status dissolutus est statim post coloniam eo missam, culpa popularium ductorum. Nobiles enim injuria affecti exire e civitate coacti sunt : deinde qui ejecti fuerant, in unum contractis copiis, in civitatem ab exilio reversi, democratiam sustulerunt.

Si accolarum et agros colentium multitudo adsit, nautarum etiam copiam abunde suppetere necesse est, ut hac quoque memoria quibusdam usu venire novimus, ut Heracleotarum civitati, qui licet minorem aliis urbem habitent, multas tamen triremes complent.]

[ABYDENORUM.]

[189.]

[Inter oligarchos facile demagogus exsistit, in quibus non hi legendorum magistratuum jus habent, ex quorum ordine sumuntur magistratus, sed magistratus quidem fiunt ex magnis censibus aut sodalitatibus, verum eligunt eo aut milites aut populus, quod Abydi contigit.]

(ANTANDRIORUM.)

190.

Antandrus, urbs sub Ida monte ad Mysiam Æolidis, nomen habet ab Antandro Æolum duce. Aristoteles tradit eam nominatam esse Edonidem, quod Edones Thraces inhabitaverint, et Cimmeridem, quod Cimmerii tenuerint eam per annos centum.

(ΑΔΡΑΜΥΤΤΗΝΩΝ.)

191.

Steph. Byz. : Ἀδραμύττειον, πόλις τῆς κατὰ Καΐκον Μυσίας... Κέκληται ἀπὸ Ἀνδραμύτου κτιστοῦ, παιδὸς μὲν Ἀλυάττου, Κροίσου δὲ ἀδελφοῦ, ὡς Ἀριστοτέλης ἐν Πολιτείαις καὶ ἄλλοι, τινὲς δὲ ἀπὸ Ἕρμωνος τοῦ Λυδῶν βασιλέως· τὸν γὰρ Ἕρμωνα Λυδοὶ Ἄδραμυν καλοῦσι Φρυγιστί. Cf. Strabo XIII, p. 623 sq. Ἄδραμυν Nicolaus (e Xantho) p. 453 Val. Sadyattæ nothum dicit. Ἀδραμών, ὁ Ἕρμων Hesych.; Ἀδραμύτην Lydorum regem affert Athenæus XII, p. 615, E. Ceterum de Adramyttio variisque nominis formis multi sunt interpretes ad Herodot. VII, 42, Thucyd. V, 1. Cf. Poppo Prolegg. ad Thuc. tom. II, p. 441; Eckhel. D. N. p. 448; Creuzer. Fr. Hist. p. 188.

ΚΥΜΑΙΩΝ.

192.

Schol. Eur. Med. 19 : Αἰσυμνᾶν ἐστι τὸ ἡγεῖσθαι καὶ ἄρχειν· ἰδίως δὲ φησὶν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Verba ἰδίως — λέγεσθαι habet etiam Etym. M. p. 39, 15.

Argument. Sophocl. OEd. Tyr. : Ὅτι δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα δῆλον· οὔτε γὰρ Ὅμηρος οὔτε Ἡσίοδος οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει· ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον αἰσυμνήτας προσαγορεύεσθαι. Εὐφημότερόν γ' ἐκεῖνο τοὔνομα. Cf. Aristot. Pol. III, 9, 5; Dionys. Hal. A. R. V, 7, 3; Steph. Thes. v. Αἰσυμνήτης, Αἰσυμνάω; Hermann. *Antiqq.* § 63.

193.

Apostolius Prov. V, 65 : Βλακὸς ἀχρηστότερος... Οἱ δὲ ἀπὸ τοῦ πρὸς τῇ Κύμῃ χωρίου Βλακείας (Βλακίας Etym. M.), οὗ μέμνηται καὶ Ἀριστοτέλης. Eadem Etym. M. p. 199, 10. Cf. St. Thes. v. Βλάξ. Attulerit hæc Aristoteles de pinguibus quæ Cumanis attribuebantur ingeniis loquens.

[194.]

[Aristot. Pol. II, 5, 12 : Ἐν Κύμῃ περὶ τὰ φονικὰ νόμος ἐστίν, ἂν πλῆθός τι παράσχηται μαρτύρων ὁ διώκων τὸν φόνον τῶν αὑτοῦ συγγενῶν, ἔνοχον εἶναι τῷ φόνῳ τὸν φεύγοντα.

V, 4, 3 : Συνέβη δὲ ταὐτὸν καὶ περὶ Κύμην ἐπὶ τῆς δημοκρατίας, ἣν κατέλυσε Θρασύμαχος.] Antecedentia v. in Rep. Megar. fr. 104. Ceterum dubitatum est num ad Asiæ an Italiæ urbem hoc pertineat.

[ΕΡΥΘΡΑΙΩΝ.]

[195.]

[Aristot. Pol. V, 5, 4 : Καὶ ἐν Ἐρυθραῖς δὲ ἐπὶ τῆς τῶν Βασιλιδῶν ὀλιγαρχίας ἐν τοῖς ἀρχαίοις χρόνοις, καίπερ καλῶς ἐπιμελουμένων τῶν ἐν τῇ πολιτείᾳ, ὅμως διὰ τὸ ὑπ' ὀλίγων ἄρχεσθαι, ἀγανακτῶν ὁ δῆμος μετέβαλε τὴν πολιτείαν.]

[ΚΛΑΖΟΜΕΝΙΩΝ.]

[196.]

[Idem ib. V, 2, 12 : Στασιάζουσι δὲ ἐνίοτε αἱ πόλεις καὶ διὰ τοὺς τόπους, ὅταν μὴ εὐφυῶς ἔχῃ ἡ χώρα πρὸς τὸ μίαν εἶναι πόλιν, οἷον ἐν Κλαζομεναῖς οἱ ἐπὶ Χύτρῳ (Χύτῳ Ephor. fr. 136; Χύτριον Strab. p. 645) πρὸς τοὺς ἐν νήσῳ, καὶ Κολοφώνιοι καὶ Νοτιεῖς.]

(ADRAMYTTENORUM.)

191.

Adramyttium, urbs Mysiæ, quæ Caico proxima; nomen habet ab Adramyto conditore, Alyattæ filio, fratre Crœsi, ut ait Aristoteles in Rebuspublicis et alii; nonnulli vero nominatam dicunt ab Hermone Lydorum rege : scilicet Hermonem Lydi Adramyn vocant lingua Phrygia.

CUMANORUM.

192.

Αἰσυμνᾶν est imperare et regnare. Proprio autem modo Cumani αἰσυμνήτην summum magistratum vocant, teste Aristotele.

Aristoteles in Cumanorum republica dicit tyrannos olim αἰσυμνήτας appellatos esse, quoniam id nomen honestius.

193.

Blace ineptior dici nonnulli putant a Blace, loco prope Cumam sito, cujus meminit etiam Aristoteles.

[194.]

[Lex est Cumis de cæde, si quis accusator aliquem testium numerum produxerit, qui sibi cognati sint, reum cædis pœna teneri.

Idem et Cumis accidit, qua in urbe democratiam Thrasymachus funditus delevit.]

[ERYTHRÆORUM.]

[195.]

[Erythris Basilidis oligarchiam obtinentibus, priscis illis temporibus, quamvis rempublicam bene procurarent, indigne ferens tamen populus, quod paucorum imperio subjectus esset, reipublicæ statum mutavit.]

[CLAZOMENIORUM.]

[196.]

[Seditiones oriuntur interdum in civitatibus etiam de sedibus, quum loci natura parum est ad urbem et civitatem unam constituendam idonea : ut Clazomenis inter eos qui

ΚΟΛΟΦΩΝΙΩΝ.

197.

Athenæus XIV, p. 618, E : Ἦν δὲ καὶ ἐπὶ ταῖς ἐώραις τις ἐπ' Ἠριγόνῃ, ἣν καὶ Ἀλῆτιν λέγουσιν ᾠδήν. Ἀριστοτέλης γοῦν ἐν τῇ Κολοφωνίων πολιτείᾳ φησίν· « Ἀπέθανε δὲ καὶ αὐτὸς ὁ Θεόδωρος ὕστερον βιαίῳ θανάτῳ· λέγεται δὲ γενέσθαι τρυφῶν τις, ὡς ἐκ τῆς ποιήσεως δῆλόν ἐστιν· ἔτι γὰρ καὶ νῦν αἱ γυναῖκες ᾄδουσιν αὐτοῦ μέλη περὶ τὰς ἐώρας. »

Cf. Pollux IV, 55 : Ἦν τι δὲ καὶ ἀλῆτις ᾆσμα ταῖς αἰώραις προσᾳδόμενον, Θεοδώρου ποίημα τοῦ Κολοφωνίου. De festi ratione v. Meursius Gr. fer. s. v. Αἰώρα, Welcker. *Nachtrag z. Tril.* p. 222 sqq.; Schwenck. *Andeut.* p. 48 sq.; Hermann. *Gottesdienstl. Alterth.* § 26 et 62.

[198.]

[Aristot. Pol. IV, 3, 9 : Ἐν Κολοφῶνι τὸ παλαιὸν.. ἐκέκτηντο μακρὰν οὐσίαν οἱ πλείους πρὶν γενέσθαι τὸν πόλεμον πρὸς τοὺς Λυδούς.] Alium Aristot. locum v. fr. 196.

[ΜΑΓΝΗΤΩΝ.]

[198 a.]

De Magnesiis ad Mæandrum quæ memorat Aristot. Pol. IV, 3, 2, vide fr. 109. De iisdem laudatur Ἀριστοτέλης ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι apud Athenæum IV, p. 173, F, ubi postquam e Semo Delio narraverat Delios Delum venientibus præbere salem, acetum et oleum et ligna et stragula, pergit : Ἀριστοτέλης δ' ἢ Θεόφραστος ἐν τοῖς Ὑπομνήμασι, περὶ Μαγνήτων λέγων τῶν ἐπὶ τοῦ Μαιάνδρου ποταμοῦ, ὅτι Δελφῶν εἰσιν ἄποικοι, τοσαύτας ἐπιτελοῦντας αὐτοὺς ποιεῖ χρείας τοῖς παραγιγνομένοις τῶν ξένων, λέγων οὕτως· « Μάγνητες, οἱ ἐπὶ τῷ Μαιάνδρῳ ποταμῷ κατοικοῦντες, ἱεροὶ τοῦ θεοῦ, Δελφῶν ἄποικοι, παρέχουσι τοῖς ἐπιδημοῦσι στέγην, ἅλας, ἔλαιον, ὄξος, ἐπίλυχνον, κλίνας, στρώματα, τραπέζας. »

Quæ quidem Ὑπομνήματα cujusnam generis fuerint, nescio. Alter locus quem ex iisdem affert Athenæus XIV, p. 655, C, ad historiam naturalem pertinet.

(ΜΙΛΗΣΙΩΝ.)

199.

Parthenius Erot. c. 14 : Περὶ Ἀνθέως. Ἱστορεῖ Ἀριστοτέλης καὶ οἱ τὰ Μιλησιακά. — Ἐκ δὲ Ἁλικαρνασσοῦ παῖς Ἀνθεύς, ἐκ βασιλείου γένους, ὡμήρευσε παρὰ Φοβίῳ, ἑνὶ τῶν Νηλειδῶν, τότε κρατοῦντι Μιλησίων. Τούτου Κλεόβοια, ἣν τινες Φιλαίχμην ἐκάλεσαν, τοῦ Φοβίου γυνή, ἐρασθεῖσα, πολλὰ ἐμηχανᾶτο εἰς τὸ προσαγαγέσθαι τὸν παῖδα. Ὡς δὲ ἐκεῖνος ἀπεωθεῖτο, ποτὲ μὲν φάσκων ὀρρωδεῖν, μὴ κατάδηλος γένοιτο, ποτὲ δὲ Δία ξένιον καὶ κοινὴν τράπεζαν προϊσχόμενος, ἡ Κλεόβοια κακῶς φερομένη, ἐν νῷ εἶχε τίσασθαι αὐτόν, ἀνηλεῆ τε καὶ ὑπέραυχον ἀποκαλουμένη. Ἔνθα δή, χρόνου προϊόντος, τοῦ μὲν ἔρωτος ἀπηλλάχθαι προσεποιήθη· πέρδικα δὲ τιθασὸν εἰς βαθὺ φρέαρ κατασοβήσασα, ἐδεῖτο τοῦ Ἀνθέως, ὅπως κατελθὼν ἀνέλοιτο αὐτόν. Τοῦ δὲ ἑτοίμως ὑπακούσαντος διὰ τὸ μηδὲν ὑφορᾶσθαι, ἡ Κλεόβοια ἐπισείει στιβαρὸν αὐτῷ πέτρον. Καὶ ὁ μὲν παραχρῆμα ἐτεθνήκει, ἡ δὲ ἄρα

Chytrum incolebant, et insulanos, et inter Colophonios et Notienses.

COLOPHONIORUM.

197.

Erat etiam cantilena aliqua quam Aletam vocant et Oscillorum festis diebus canunt in honorem Erigonæ. Aristoteles in Colophoniorum rep. ait : « Mortuus vero est deinde ipse etiam Theodorus morte violenta. Dicitur autem fuisse homo luxuriæ indulgens, quod etiam ex carminibus ejus patet. Nam etiamnum mulieres carmina ejus canunt Oscillorum festis diebus. »

[198.]

[Colophone olim, antequam bellum adversus Lydos ortus esset, major pars civium magnas facultates possidebat.]

[MAGNESIORUM.]

[198 a.]

[Aristoteles vel Theophrastus in Commentariis, postquam de Magnetibus Mæandrum fluvium accolentibus dixit, esse eos Delphorum colonos, eandem operam præstantes facit peregrinis qui eos conveniunt. Verba ejus hæc sunt : « Magnetes qui ad Mæandrum fl. habitant, deo consecrati, Delphorum coloni, peregrinantibus qui eos conveniunt, lectum præbent, salem, oleum, acetum, lucernam, stragulas, lectos, mensas. »

(MILESIORUM.)

199.

De Antheo. Narrat Aristoteles et scriptores rerum Milesiacarum. — Antheus regii generis ex Halicarnasso adolescens Phobio Nelidæ tunc Milesiis imperanti obses datus fuit. In hujus amorem Cleobœa (quam quidam Philæchmen vocarunt) Phobii uxor illapsa, multa sane machinata est, quibus adolescentem illiceret. Quum autem ille eam aversaretur, aliquando quidem timorem prætexuit, ne videlicet manifestum id fieret, aliquando autem hospitii jus et communem mensam causatus est, tamdiu ut Cleobœa ægre rem ferens, in animo haberet ulcisci eum, immisericordem ipsum et superbum vocans. Quare temporis progressu amorem in se exstinctum simulabat, ac perdicem cicurem in profundum puteum demittens, Antheum rogavit ut descenderet atque extraheret illam. Ille itaque quum prompte obediret (nihil enim mali suspicabatur), Cleobœa super eum dejicit ingens saxum, unde ille statim mortuus est.

ἐννοηθεῖσα ὡς δεινὸν ἔργον δεδράκοι, καὶ ἄλλως δὲ καομένη σφοδρῷ ἔρωτι τοῦ παιδὸς, ἀναρτᾷ ἑαυτήν. Φόβιος μέντοι διὰ ταύτην τὴν αἰτίαν ὡς ἐναγὴς παρεχώρησε Φρυγίῳ τῆς ἀρχῆς. Ἔφασαν δέ τινες, οὐ πέρδικα, σκεῦος δὲ χρυσοῦν εἰς τὸ φρέαρ βεβλῆσθαι, ὡς καὶ Ἀλέξανδρος ὁ Αἰτωλὸς μέμνηται.

Quod sequitur fragmentum Alexandri Ætoli illustratum habes a Jacobsio in Anthol. Gr. tom. VII, p. 239, Bach in *Zeitschrift. f. Alt. — W.* 1837, N° 41. De Antheadum familia cf. Müller. *Dor.* I, p. 108. Cum Phobio nostro cf. Phobum Codridam Phocæensium regem in Charonis fr. 6.

200.

Athenæus XII, p. 523, E : Ὡς δ' ὑπήχθησαν (sc. οἱ Μιλήσιοι) ἡδονῇ καὶ τρυφῇ, κατερρύη τὸ τῆς πόλεως ἀνδρεῖον, φησὶν Ἀριστοτέλης, καὶ παροιμία τις ἐγεννήθη ἐπ' αὐτῶν· Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. Eadem ex Athenæo Eustath. Il. ψ, 444, p. 1358, 5. Quæ antecedunt ap. Athenæum vid. in Ephor. fr. 92.

[201.]

[Aristot. Pol. I, 4, 5 : Οἷον καὶ τὸ Θάλεω τοῦ Μιλησίου· τοῦτο γάρ ἐστι κατανόημά τι χρηματιστικὸν, ἀλλ' ἐκείνῳ μὲν διὰ τὴν σοφίαν προσάπτουσι, τυγχάνει δὲ καθόλου τι ὄν. Ὀνειδιζόντων γὰρ αὐτῷ διὰ τὴν πενίαν ὡς ἀνωφελοῦς τῆς φιλοσοφίας οὔσης, κατανοήσαντά φασιν αὐτὸν ἐλαιῶν φορὰν ἐσομένην ἐκ τῆς ἀστρολογίας, ἔτι χειμῶνος ὄντος, εὐπορήσαντα χρημάτων ὀλίγων ἀρραβῶνας διαδοῦναι τῶν ἐλαιουργίων τῶν τ' ἐν Μιλήτῳ καὶ Χίῳ πάντων, ὀλίγου μισθωσάμενον, ἅτ' οὐθενὸς ἐπιβάλλοντος· ἐπειδὴ δ' ὁ καιρὸς ἧκε, πολλῶν ζητουμένων ἅμα καὶ ἐξαίφνης, ἐκμισθοῦντα ὃν τρόπον ἠβούλετο, πολλὰ χρήματα συλλέξαντα ἐπιδεῖξαι, ὅτι ῥᾴδιόν ἐστι πλουτεῖν τοῖς φιλοσόφοις, ἂν βούλωνται, ἀλλ' οὐ τοῦτ' ἐστὶ περὶ οὗ σπουδάζουσιν.

Id. ib. V, 4, 5 : Ἐγίγνοντο δὲ τυραννίδες πρότερον μᾶλλον ἢ νῦν καὶ διὰ τὸ μεγάλας ἀρχὰς ἐγχειρίζεσθαί τισιν, ὥσπερ ἐν Μιλήτῳ ἐκ τῆς πρυτανείας· πολλῶν γὰρ ἦν καὶ μεγάλων κύριος ὁ πρύτανις.]

De Hippodamo Milesio qui πρῶτος τῶν μὴ πολιτευομένων ἐνεχείρησέ τι περὶ πολιτείας εἰπεῖν τῆς ἀρίστης, v. Arist. II, 5, 1—5; de Telecle Milesio, qui item Πολιτείαν scripsit, v. id. IV, 11, 3.

(ΙΑΣΕΩΝ.)

201 a.

Schol. Ven. Il. B. 126 : Ἔθος πλείονας τῶν δέκα μὴ συνεσθίειν, ὡς καὶ Ἀριστοτέλης ἐν Πολιτείαις. Hæc ad Iasensium Remp. refert Grashof., propter Heraclidis Pontici fr. 39.

[ΚΝΙΔΙΩΝ.]

[202.]

[Aristot. Pol. V, 5, 3 : Μετέβαλε δὲ καὶ ἐν Κνίδῳ ἡ ὀλιγαρχία, στασιασάντων τῶν γνωρίμων αὐτῶν πρὸς αὑτοὺς, διὰ τὸ ὀλίγους μετέχειν, καὶ, καθάπερ εἴρηται, εἰ πατὴρ, υἱὸν μὴ μετέχειν, μηδ' εἰ πλείους ἀδελφοὶ, ἀλλ' ἢ τὸν πρεσβύτατον· ἐπιλαβόμενος γὰρ στασιαζόντων ὁ δῆμος καὶ λαβὼν προστάτην ἐκ τῶν γνωρίμων, ἐπιθέμενος ἐκράτησεν· ἀσθενὲς γὰρ τὸ στασιάζον.]

Alium de Cnidiis locum (V, 5, 11) v. fr. 174.

Ipsa vero animo volvens quam grave flagitium perpetrasset, atque alias etiam vehementi adolescentis amore flagrans, se ipsam suspendit. Porro Phobius ob eandem causam tanquam scelestus Phrygio regnum cessit. Dixerunt autem nonnulli non perdicem, sed vasculum aureum in puteum projectum fuisse, ut Alexander Ætolus.

200.

Milesii postquam voluptatibus et luxuriæ succubuerunt, enervatum concidit civitatis robur, ut ait Aristoteles, et enatum in eos est proverbium : *Fortes olim fuerunt Milesii.*

[201.]

Cujusmodi est etiam illud Thaletis Milesii : nam hoc inventum quoddam acutum est ad pecuniam quærendam accommodatum, quanquam illi quidem id propter sapientiam attribuunt. Quum enim ei paupertatem vitio verterent atque exprobrarent, tanquam sapientiæ studium inutile sit, aiunt eum, quum ex astrologia intellexisset olearum ubertatem fore, hieme nondum exacta, paucorum numorum copia instructum, omnes molas et cellas oleareas, quæ Mileti et in Chio essent, datis arrhabonibus parvo conduxisse, quippe quum licitator nullus, qui mercedem augeret, exstitisset. Ubi autem tempus venit, quum multæ simul et subito quærerentur molæ, illis suo arbitratu et quanti vellet, elocatis, multas pecunias coegisse atque ita ostendisse, facile esse philosophis, si velint, ditescere : sed hoc non esse id, in quod studium suum conferant.

Exsistebant tyrannides antea magis quam nunc, etiam quia magna imperia certis hominibus tradebantur : ut Mileti tyrannis ex prytania facta est : multarum enim et magnarum rerum penes prytanim potestas erat.

(IASENSIUM.)

201 a.

Mos erat (*apud Iasenses*) non ultra decem convivio adhibere, ut Aristoteles in Politiis ait.

[CNIDIORUM.]

[202.]

[Mutata etiam in Cnido oligarchia est, quum optimates ipsi inter se dissedissent, propterea quod pauci reipublicæ administrationis participes erant : et, quemadmodum dictum est, si pater magistratum obtinebat, filius a magistratu excludebatur; et si plures fratres erant, soli natu maximo aditus ad magistratus patebat. Nam quum populus eos inter se dissidentes occupasset, et ex optimatium numero ducem

ΛΥΚΙΩΝ.

Λυκίων πολιτείᾳ Aristotelis usus est Sopater libro duodecimo, teste Photio cod. 161.

ΚΥΠΡΙΩΝ.

203.

Harpocration : Ἄνακτες καὶ ἄνασσαι· οἱ μὲν υἱοὶ τοῦ βασιλέως καὶ οἱ ἀδελφοὶ καλοῦνται ἄνακτες, αἱ δὲ ἀδελφαὶ καὶ γυναῖκες ἄνασσαι· Ἀριστοτέλης ἐν τῇ Κυπρίων πολιτείᾳ.

Eadem Suidas et Etym. M. « Aristotelem in observatione tam pervulgata (vide vel Musgr. in Soph. OEd. R. 85) appellari potuisse miraremur, nisi de rationibus Cypriorum ἀνάκτων accurate nobis constaret ex Athenæo VI, p. 256 sive Eustathio in Il. N. p. 947 [e Clearchi Gergithio]. » *Bernhardy* ad Suid.

[204.]

[Aristot. Pol. V, 8, 10 : Καὶ ἡ (ἐπίθεσις) τοῦ εὐνούχου Εὐαγόρᾳ τῷ Κυπρίῳ (sc. δι' ὕβριν ἐγένετο)· διὰ γὰρ τὸ τὴν γυναῖκα παρελέσθαι τὸν υἱὸν αὐτοῦ ἀπέκτεινεν ὡς ὑβρισμένος.] V. Diodor. 15, 47.

205.

Schol. Pindar. Pyth. II, 127 : Ἀριστοτέλης δὲ πρῶτον Ἀχιλλέα ἐπὶ τῇ τοῦ Πατρόκλου πυρᾷ τῇ πυρρίχῃ φησὶ κεχρῆσθαι, ἣν παρὰ Κυπρίοις φησὶ Πρύλιν λέγεσθαι, ὥστε παρὰ τὴν πυρὰν τῆς πυρρίχης τὸ ὄνομα θέσθαι. V. Bœckh. De metris Pind. p. 271. Hœckh. *Creta* III, 345 sqq. Ceterum num recte hæc ad Cypriorum remp. referantur, potest dubitari.

ΚΥΡΗΝΑΙΩΝ.

206.

Schol. Aristoph. Plut. 925 : Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου· ὃν τιμήσαντες Λίβυες ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον, ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. Ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρους καὶ ἐξόχους τιμὰς δεχομένων.... Βάττος, ὁ καὶ Ἀριστοτέλης, ἐν Λιβύῃ Κυρήνην λεγομένην ἔκτισε κατὰ τὸν δοθέντα αὐτῷ παρὰ τοῦ Ἀπόλλωνος χρησμόν· καὶ οἱ πολῖται οἱ Κυρηναῖοι ἀνταπόδοσιν τῆς εὐεργεσίας βουλόμενοι χαρίσασθαι τῷ βασιλεῖ, ἐποίησαν [εἰκόνα, ὡς δὲ τινές; hæc interponit Aldina] δακτύλιον, ἐν ᾧ ἡ πόλις αὐτῶν προσφέρει τῷ βασιλεῖ τὸ σίλφιον· καὶ τὸ φύλλον δὲ αὐτοῦ καὶ ὁ καρπὸς καὶ ὁ καυλὸς καὶ ὁ ὀπὸς καὶ ἁπλῶς τὸ πᾶν αὐτοῦ πολλῆς τιμῆς ἄξιόν ἐστιν.

Cf. Suidas : Βάττου σίλφιον· ἐπὶ τῶν σπανίους τιμὰς λαμβανόντων· οἱ γὰρ Κυρηναῖοι ἑνὶ τῶν Βάττων ἐξαίρετον ἔδοσαν τὸ σίλφιον καὶ τοῦ νομίσματος ἐπὶ μὲν θατέρου Ἄμμωνα, ἐπὶ δὲ θατέρου σίλφιον ἐτύπωσαν· οἱ δὲ ἐπὶ Λιβύης Ἀμπελιῶται εἰς Δελφοὺς ἀνέθεσαν καυλὸν σιλφίου. Hesych. : Ἄμμους, ὁ Ζεύς. Ἀριστοτέλης. Apostol. V, 40; Arsenius 137; Bekker. An. I, p. 224; Appendix Prov. I, 51 ibiq. Leutsch V. *Thrige* De reb. Cyrenæorum p. 30 sqq.

207.

Pollux IX, 62 : Ἦν μέντοι, ὡς Ἀριστοτέλης φησίν, ἐν Κυρήνῃ καὶ τετραστάτηρον καὶ στατὴρ καὶ ἡμιστάτηρον χρυσᾶ νομίσματα. Cf. Pollux IX, 60 : Ἦν δὲ οὐ δραχμὴ νόμισμα μόνον, ἀλλὰ καὶ πεντηκοντάδραχμον καὶ πεντάδραχμον παρὰ Κυρηναίοις, καὶ τετράδραχμον ἐκαλεῖτο καὶ τρίδραχμον καὶ δίδραχμον.

Apud Etym. M. p. 33, 3 : Αἰθὴρ, παρὰ τὸ ἀεὶ θεῖν κυκλοφορικῶς, φησὶν Ἀριστοτέλης περὶ Κυρηναίων, legendum Ἀρ. περὶ οὐρανίων aut Ἀριστοτέλης ὁ Κυρηναῖος.

[208.]

[Aristot. Pol. VI, 2, 10 : Πρὸς δὲ τὸ καταστάναι

---

cepisset, impetu facto eos adortus profligavit, rerumque potitus est. Imbecillum enim est omne quod discordat.]

CYPRIORUM.

203.

Filii regis et fratres appellantur ἄνακτες, sorores et uxores ἄνασσαι. Aristoteles in Cypriorum Rep.

[204.]

[Propter illatam ipsi contumeliam etiam eunuchus ille Evagoram Cyprium adortus est. Nam propterea, quod uxor ipsi ab illius filio adempta esset, eum interfecit, tanquam contumelia accepta.]

205.

Aristoteles dicit primum Achillem ad Patroclis rogum pyrrhiche usum esse, quam saltationem Cypriis Prylin appellari ait. Pyrrichen vero nominatam esse a pyra illa sive rogo.

CYRENÆORUM.

206.

Battus a Thera, quæ insula e regione Cretæ sita est, profectus Cyrenas condidit. Quem quum in honore Libyes haberent, gratificati ei sunt pulcherrimum olerum, silphium, atque imaginem Batti in nummo expresserunt altera manu potestatem regiam, altera silphium ab urbe accipientem, ut Aristoteles tradit in Cyrenæorum rep. Hinc etiam proverbium (Βάττου σίλφιον) de iis quibus eximii et insignes honores habentur, usurpari solet.

Ammon, i. e. Jupiter. Aristoteles.

207.

Erat etiam, ut Aristoteles tradit, Cyrenis quadristater et stater et semistater, aurea numismata.

[208.]

[Ad constituendam autem hanc democratiam (sc. in qua

ταύτην τὴν δημοκρατίαν (sc. in qua omnes cives reip. administrationis participes sint), καὶ τὸν δῆμον ποιεῖν ἰσχυρὸν εἰώθασιν οἱ προεστῶτες τῷ προσλαμβάνειν ὡς πλείστους, καὶ ποιεῖν πολίτας μὴ μόνον τοὺς γνησίους, ἀλλὰ καὶ τοὺς ἐξ ὁποτερουοῦν πολίτου, λέγω δὲ οἷον πατρὸς ἢ μητρός· ἅπαν γὰρ οἰκεῖον τοῦτο τῷ τοιούτῳ δήμῳ μᾶλλον. Εἰώθασι μὲν οὖν οἱ δημαγωγοὶ κατασκευάζειν οὕτω· δεῖ μέντοι προσλαμβάνειν μέχρις ἂν ὑπερτείνῃ τὸ πλῆθος τῶν γνωρίμων καὶ τῶν μέσων, καὶ τούτου μὴ πέρα προβαίνειν· ὑπερβάλλοντες γὰρ ἀτακτοτέραν τε ποιοῦσι τὴν πολιτείαν, καὶ τοὺς γνωρίμους πρὸς τὸ χαλεπῶς ὑπομένειν τὴν δημοκρατίαν παροξύνουσι μᾶλλον· ὅπερ συνέβη τῆς στάσεως αἴτιον γενέσθαι περὶ Κυρήνην· ὀλίγον μὲν γὰρ πονηρὸν παροραται· πολὺ δὲ γινόμενον ἐν ὀφθαλμοῖς μᾶλλόν ἐστιν. Ἔτι δὲ καὶ τὰ τοιαῦτα κατασκευάσματα χρήσιμα πρὸς τὴν δημοκρατίαν τὴν τοιαύτην, οἷς Κλεισθένης τε Ἀθήνησιν ἐχρήσατο, βουλόμενος αὐξῆσαι τὴν δημοκρατίαν, καὶ περὶ Κυρήνην οἱ τὸν δῆμον καθιστάντες· φυλαί τε γὰρ ἕτεραι ποιητέαι πλείους καὶ φρατρίαι, καὶ τὰ τῶν ἰδίων ἱερῶν συνακτέον εἰς ὀλίγα καὶ κοινά, καὶ πάντα σοφιστέον, ὅπως ἂν ὅτι μάλιστα ἀναμιχθῶσι πάντες ἀλλήλοις, αἱ δὲ συνήθειαι διαζευχθῶσιν αἱ πρότερον.]

[ΚΑΡΧΗΔΟΝΙΩΝ.]

209.

[Aristot. Pol. II, 8: Πολιτεύεσθαι δὲ δοκοῦσι καὶ Καρχηδόνιοι καλῶς, καὶ πολλὰ περιττῶς πρὸς τοὺς ἄλλους, μάλιστα δ' ἔνια παραπλησίως τοῖς Λάκωσιν· αὗται γὰρ αἱ πολιτεῖαι τρεῖς ἀλλήλαις τε σύνεγγύς πως εἰσὶ, καὶ τῶν ἄλλων πολὺ διαφέρουσιν, ἥ τε Κρητικὴ καὶ ἡ Λακωνικὴ καὶ τρίτη τούτων ἡ τῶν Καρχηδονίων. Καὶ πολλὰ τῶν τεταγμένων ἔχει παρ' αὐτοῖς καλῶς· σημεῖον δὲ πολιτείας συντεταγμένης τὸ τὸν δῆμον ἔχουσαν διαμένειν ἐν τῇ τάξει τῆς πολιτείας, καὶ μήτε στάσιν, ὅ τι καὶ ἄξιον εἰπεῖν, γεγενῆσθαι μήτε τύραννον. (2) Ἔχει δὲ παραπλήσια τῇ Λακωνικῇ πολιτείᾳ τὰ μὲν συσσίτια τῶν ἑταιριῶν τοῖς φιδιτίοις, τὴν δὲ τῶν ἑκατὸν καὶ τεττάρων ἀρχὴν τοῖς ἐφόροις (πλὴν οὐ χεῖρον οἱ μὲν ἐκ τῶν τυχόντων εἰσὶ, ταύτην δ' αἱροῦνται τὴν ἀρχὴν ἀριστίνδην), τοὺς δὲ βασιλεῖς καὶ τὴν γερουσίαν ἀνάλογον τοῖς ἐκεῖ βασιλεῦσι καὶ γέρουσιν. Καὶ βέλτιον δὲ τοὺς βασιλεῖς μήτε κατὰ τὸ αὐτὸ εἶναι γένος, μήτε τοῦτο τὸ τυχὸν, εἰ δὲ διαφέρον, ἐκ τούτων αἱρετοὺς μᾶλλον ἢ κατ' ἡλικίαν· μεγάλων γὰρ κύριοι καθεστῶτες, ἂν εὐτελεῖς ὦσι, μεγάλα βλάπτουσι καὶ ἔβλαψαν ἤδη τὴν πόλιν τὴν τῶν Λακεδαιμονίων. (3) Τὰ μὲν οὖν πλεῖστα τῶν ἐπιτιμηθέντων ἂν διὰ τὰς παρεκβάσεις κοινὰ τυγχάνει πάσαις ὄντα ταῖς εἰρημέναις πολιτείαις· τῶν δὲ πρὸς τὴν ὑπόθεσιν τῆς ἀριστοκρατίας καὶ τῆς πολιτείας τὰ μὲν εἰς δῆμον ἐκκλίνει μᾶλλον, τὰ δ' εἰς ὀλιγαρχίαν. Τοῦ μὲν γὰρ τὰ μὲν προσάγειν, τὰ δὲ μὴ προσάγειν πρὸς τὸν δῆμον οἱ βασιλεῖς κύριοι μετὰ τῶν γερόντων, ἂν ὁμογνωμονῶσι πάντες· εἰ δὲ μή, καὶ τούτων ὁ δῆμος. Ἃ δ' ἂν εἰσφέρωσιν οὗτοι, οὐ διακοῦσαι μόνον ἀποδιδόασι τῷ δήμῳ τὰ δόξαντα τοῖς ἄρχουσιν,

---

omnes cives reipublicæ administrationis participes sint) et populum validum efficiendum, solent populi duces quam plurimos asciscere non solum legitimos cives, sed etiam nothos et ex alterutro parente cive procreatos, hoc est, ex patre aut matre. Omne enim genus hoc hominum ad talem democratiam magis accommodatum est. Solent igitur demagogi hæc excogitare et machinari: sed oportet assumere usque eo, dum multitudo nobiles et medios superet, nec tamen ultra procedere convenit. Nam si modum superent, statum reipublicæ magis perturbant, magisque nobiles ira incendunt, quo minus statum popularem ferant: quod Cyrenis causa fuit seditionis. Nam exiguum malum non animadvertitur: idem si fiat majus, magis in oculos incurrit. Præterea ad talem democratiam utilia sunt talia commenta atque inventa, quibus Clisthenes Athenis usus est, quum democratiam amplificare atque augere vellet, et ii qui Cyrenis democratiam constituerunt. Nam et aliæ pluresque tribus et curiæ faciendæ sunt; omnia denique artificia adhibenda sunt, ut quammaxime omnes inter se permisceantur, pristinæ autem consuetudines et societates disjungantur atque aboleantur.]

[CARTHAGINIENSIUM.]

[209.]

[Existimantur autem etiam Carthaginienses reipublicæ administrandæ ratione uti recta, et multis in rebus eximia atque egregia, si cum aliis comparetur; in nonnullis autem Lacedæmoniorum reipublicæ consimili. Hæ enim tres respublicæ quum inter se quodammodo sint similes, tum ab aliis longe differunt: Cretensis, inquam, et Laconica et tertia Carthaginiensis. Multaque eorum, quæ apud Carthaginienses constituta sunt, præclare se habent. Argumento autem est, hanc rempublicam bene esse descriptam, quod quum populum habeat rerum compotem, maneat in descriptione et ordinatione reipublicæ, neque aut seditio unquam in eo coorta sit, memoratu quidem illa digna, aut tyrannus exstiterit. (2) Habet autem hæc Laconicæ reipublicæ similia: primum sodalitiorum convivia, phiditiis; deinde centum et quattuor virûm imperium, ephororum potestati, et melius quidem institutum. Illi enim e vulgo sunt, hi autem ad hoc imperium eliguntur, ut quisque virtute et dignitate præstat. Postremo reges et senatum habet Lacedæmoniorum regibus et senatui respondentes. Et vero reges quidem rectius creant, neque ex eodem perpetuo genere neque ex quovis fortuna oblato; sin præstans aliquod est, ex eo reges electio, non ætas facit. Nam magnarum rerum domini et compotes effecti, si sint vulgares homines atque abjecti, magna damna inferunt, et magna jam intulerunt Lacedæmoniorum civitati. (3) Plurima igitur eorum, quæ reprehendi possunt propter declinationem a recta ratione reipublicæ, communia huic fuerunt cum aliis rebuspublicis, quas commemoravimus. Eorum autem, quæ optimatium principatum et politiam finem sibi propositum habent, partim quidem ad populi potentiam, alia vero ad paucorum dominatum magis declinant. Reges enim

ἀλλὰ κύριοι κρίνειν εἰσὶ καὶ τῷ βουλομένῳ τοῖς εἰσφερομένοις ἀντειπεῖν ἔξεστιν, ὅπερ ἐν ταῖς ἑτέραις πολιτείαις οὐκ ἔστιν. (4) Τὸ δὲ τὰς πενταρχίας κυρίας οὔσας πολλῶν καὶ μεγάλων ὑφ' αὑτῶν αἱρετὰς εἶναι, καὶ τὴν τῶν ἑκατὸν ταύτας αἱρεῖσθαι τὴν μεγίστην ἀρχήν, ἔτι δὲ ταύτας πλείονα ἄρχειν χρόνον τῶν ἄλλων (καὶ γὰρ ἐξεληλυθότες ἄρχουσι καὶ μέλλοντες) ὀλιγαρχικόν, τὸ δ' ἀμίσθους καὶ μὴ κληρωτὰς, ἀριστοκρατικὸν θετέον, καὶ εἴ τι τοιοῦτον ἕτερον, καὶ τὸ τὰς δίκας ὑπὸ τῶν ἀρχείων πάντων δικάζεσθαι πάσας, καὶ μὴ ἄλλας ὑπ' ἄλλων, καθάπερ ἐν Λακεδαίμονι. (5) Παρεκβαίνει δὲ τῆς ἀριστοκρατίας ἡ τάξις τῶν Καρχηδονίων μάλιστα πρὸς τὴν ὀλιγαρχίαν κατά τινα διάνοιαν, ἣ συνδοκεῖ τοῖς πολλοῖς· οὐ γὰρ μόνον ἀριστίνδην, ἀλλὰ καὶ πλουτίνδην οἴονται δεῖν αἱρεῖσθαι τοὺς ἄρχοντας· ἀδύνατον γὰρ τὸν ἀποροῦντα καλῶς ἄρχειν καὶ σχολάζειν. Εἴπερ οὖν τὸ μὲν αἱρεῖσθαι πλουτίνδην ὀλιγαρχικὸν, τὸ δὲ κατ' ἀρετὴν ἀριστοκρατικὸν, αὕτη τις ἂν εἴη τάξις τρίτη, καθ' ἥνπερ συντέτακται καὶ τοῖς Καρχηδονίοις τὰ περὶ τὴν πολιτείαν· αἱροῦνται γὰρ εἰς δύο ταῦτα βλέποντες καὶ μάλιστα τὰς μέγιστας, τούς τε βασιλεῖς καὶ τοὺς στρατηγούς. (6) Δεῖ δὲ νομίζειν ἁμάρτημα νομοθέτου τὴν παρέκβασιν εἶναι τῆς ἀριστοκρατίας ταύτην. ἐξ ἀρχῆς γὰρ τοῦθ' ὁρᾶν ἔστι τῶν ἀναγκαιοτάτων, ὅπως οἱ βέλτιστοι δύνωνται σχολάζειν, καὶ μηδὲν ἀσχημονεῖν μὴ μόνον ἄρχοντες, ἀλλὰ μηδ' ἰδιωτεύοντες. Εἰ δὲ δεῖ βλέπειν καὶ πρὸς εὐπορίαν χάριν σχολῆς, φαῦλον τὸ τὰς μεγίστας ὠνητὰς εἶναι τῶν ἀρχῶν, τήν τε βασιλείαν καὶ τὴν στρατηγίαν· ἔντιμον γὰρ ὁ νόμος οὗτος ποιεῖ τὸν πλοῦτον μᾶλλον τῆς ἀρετῆς, καὶ τὴν πόλιν ὅλην φιλοχρήματον. (7) Ὅ τι δὲ ἂν ὑπολάβῃ τίμιον εἶναι τὸ κύριον, ἀνάγκη καὶ τὴν τῶν ἄλλων πολιτῶν δόξαν ἀκολουθεῖν τούτοις· ὅπου δὲ μὴ μάλιστα ἀρετὴ τιμᾶται, ταύτην οὐχ οἷόν τε εἶναι βεβαίως ἀριστοκρατικὴν πολιτείαν. Ἐθίζεσθαι δ' εὔλογον κερδαίνειν τοὺς ὠνουμένους, ὅταν δαπανήσαντες ἄρχωσιν· ἄτοπον γὰρ, εἰ πένης μὲν ὢν ἐπιεικὴς δὲ βουλήσεται κερδαίνειν, φαυλότερος δ' ὢν οὐ βουλήσεται δαπανήσας. Διὸ δεῖ τοὺς δυναμένους ἀρισταρχεῖν, τούτους ἄρχειν. Βέλτιον δ' εἰ καὶ προεῖτο τὴν εὐπορίαν τῶν ἐπιεικῶν ὁ νομοθέτης, ἀλλὰ ἀρχόντων γε ἐπιμελεῖσθαι τῆς σχολῆς. (8) Φαῦλον δ' ἂν δόξειεν εἶναι καὶ τὸ πλείους ἀρχὰς τὸν αὐτὸν ἄρχειν, ὅπερ εὐδοκιμεῖ παρὰ τοῖς Καρχηδονίοις· ἓν γὰρ ὑφ' ἑνὸς ἔργον ἄριστ' ἀποτελεῖται. Δεῖ δ' ὅπως γίνηται τοῦθ' ὁρᾶν τὸν νομοθέτην, καὶ μὴ προστάττειν τὸν αὐτὸν αὐλεῖν καὶ σκυτοτομεῖν. Ὥσθ' ὅπου μὴ μικρὰ πόλις, πολιτικώτερον πλείονας μετέχειν τῶν ἀρχῶν, καὶ δημοτικώτερον· κοινότερόν τε γὰρ, καθάπερ εἴπομεν, καὶ

---

Ordo ludorum institutorum secundum Aristotelem hic est : Primi Eleusinii propter fructum a Cerere datum; secundi Panathenaici propter Asterem gigantem a Minerva occisum; tertii, quos Argis Danaus instituit ob nuptias filiarum suarum; quarti in Arcadia ab Lycaone instituti, quæ Lycæa vocantur; quinti in Iolco ab Acasto in honorem Pelei patris celebrati; sexti sunt Isthmii, quos Sisyphus Melicertæ dedicavit; septimi Olympici, ab Hercule in Pelopis honorem instituti; octavi Nemeæi, quos Septem contra Thebas Archemoro consecrarunt; noni Trojani, quos Achilles Patroclis in honorem instituit; decimi Pythii, quos Amphictyones propter Pythonem occisum condiderunt. Hancce ludorum antiquorum seriem in Peplis Aristoteles exposuit.

De Eleusiniis ludis omnium vetustissimis v. schol. Pind. IX, 150; Etym. M. 743, 25; alii hunc honorem Panathenæis tribuerunt, ut Aristides Panathen. I, p. 308 Dindf. — Helladius Photii p. 533, a, 29 de Astere vel Asterio gigante : Τὰ μικρὰ Παναθήναια ἐπὶ Ἐριχθονίου τοῦ Ἀμφικτύονος γενόμενα ἐπὶ τῷ φόνῳ τοῦ Ἀστερίου τοῦ γίγαντος. Hæc, suspicor, Meierum (in *Ersch. u. Grub. Encycl.* v. *Panathenæen* p. 278, notante Schneidewino) induxerunt, ut scribi vellet ὑπ' Ἀθηναίων. Vulgo Pallantem gigantem, Crii filium, Minerva interfecisse dicitur. Pro Pallante Noster posuit alium Crii Titanis filium, quem Apollodorus *Astræum*, Aristoteles Asterem vel Asterium (cf. Asteria Cœi Titanis f.) dicit. — ἐπὶ Πέλοπι] « Olympia Herculem vovisse Pelopi tam singulare est, ut scholiastam ἐπ' Αὐγείᾳ scribere volentem dormitasse arbitrer : aberrasse ad alteram fabulam docent vel Eustathiana Comment. Pindar. p. 26. » *Schneidewin.* Nihil erratum. Cf. Thrasyllus ap. Clement. Strom. I, p. 145 Sylb. : Τὸν Ὀλυμπίασιν ἀγῶνα, ὃν Ἡρακλῆς ἔθηκεν ἐπὶ Πέλοπι. Fragm. Chronol. p. 121; Vellej. Paterc. I, 3; Hermann. Antiqq. sacr. p. 243. Suspicionem movent qui deinceps memorantur ludi Troici ab Achille instituti. Inter ludos statis vicibus celebratos nusquam memorantur; sin fuisse putas, certe perobscuri erant, nisi fortasse Alexander demum splendorem iis addidit.

Tzetzæ locos duos, quibus Pepli mentio injicitur, exhibuimus fr. 115 et 117.

283.

Clemens Protr. p. 8 Sylb. : Ἀπόλλωνα ὁ μὲν Ἀριστοτέλης πρῶτον Ἡφαίστου καὶ Ἀθηνᾶς, δεύτερον ἐν Κρήτῃ τὸν Κορύβαντος, τρίτον τὸν Διὸς καὶ τέταρτον τὸν Ἀρκάδα τὸν Σιληνοῦ· νόμιος οὗτος κέκληται παρ' Ἀρκάσιν· ἐπὶ τούτοις τὸν Λίβυν καταλέγει τὸν Ἄμμωνος. Cf. Cic. N. D. III, 23. Hæc ad Peplum refert Schneidewinus, quamquam dubitans an recte nomen Aristotelis citetur. Sane argumentum fragmenti in Peplum cadere videtur. Simul vero vix quisquam dubitabit, quin a Stagirita hæ Stoicorum et grammaticorum Alexandrinorum ineptiæ alienæ sint. Lobeckius Aglaoph. p. 994 auctorem nostrum appellat *Aristotelem quendam*. Eundem esse puto, cujus *Theologumena* laudantur fragmento sequente.

284.

Macrob. Saturn. I, 18 : *Hæc quæ de Apolline diximus, possunt etiam de Libero patre dicta æstimari. Nam Aristoteles qui Theologumena scripsit, Apollinem et Liberum patrem unum eundemque deum esse quum multis argumentis asserat, etiam apud Ligyreos ait in Thracia esse adytum Libero consecratum, ex quo redduntur oracula; sed in hoc adyto vaticinaturi plurimo vino sumpto, uti apud Clarium aqua potata, effantur oracula. Apud Lacedæmonios etiam in sacris quæ Apollini celebrant Hyacinthia vocantes, hedera coronantur Bacchico ritu. Item Bœotii Parnasum montem Apollini sacratum esse memorantes, simul tamen in eodem et oraculum Delphicum et speluncas Bacchicas uni deo consecratas colunt. Unde et Apollini et Libero patri in eodem monte res divina celebratur.*

Huc referre etiam licet quæ de Apolline, vitæ cultioris auctore, ex Aristotele affert Suidas et Etym. M. v. Νόμοι κιθαρῳδικοί (v. fr. 87).

285.

Schol. Theocrit. V, 53 : Αὗται γὰρ (αἱ Νύμφαι) ἐκθρέψασαι τὸν Ἀρισταῖον, ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης. Hæc etiam in Politiis legi poterant, v. c. in Rep. Ceorum. Vide Heraclid. Pont. fr. 9.

286.

Schol. Theocrit. XVII, 9 : Ἀριστοτέλης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα. Cf. Herodor. fr. 4.

(287.)

Schol. Theocrit. XV, 64 : Ἀριστοτέλης δὲ ἱστορεῖ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν ἰδιώτερον περὶ τοῦ Διὸς καὶ τῆς Ἥρας γάμου. Τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. Βουλόμενος δὲ ἀφανὴς γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλει εἰς κόκκυγα, καὶ καθέζεται εἰς ὄρος, ὃ πρῶτον μὲν Θρόναξ (Θόρναξ Hemst.) ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. Τὸν δὲ Δία χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ. Τὴν δὲ Ἥραν πορευομένην μόνην, ἀφικέσθαι πρὸς τὸ ὄρος καὶ

283.

Primum Apollinem Aristoteles Neptuni et Minervæ filium dicit, alterum Cretensem Corybantis, tertium Jovis, quartum Arcadem Sileni filium; hic Nomius apud Arcades vocatur. Præterea affert Apollinem Libyn Ammonis filium.

285.

Nymphæ Aristæum educarunt eumque olearum culturam et mellificium docuerunt.

286.

Aristoteles dicit Herculem a Rhadamanthe educatum esse.

(287.)

Aristoteles ubi de Hermiones sacris agit, peculiare quiddam de Jovis et Junonis nuptiis narrat. Etenim Jovem fabulatur voluisse cum Junone consuescere simulac eam a reliquis deabus separatam offenderet. Quum vero invisibilis esse neque conspici ab ea vellet, in cuculum se mutavit, conseditque in montem, qui olim Thornax vocaba-

καθίζεσθαι ἐπ' αὐτὸ, ὅπου νῦν ἐστὶν ἱερὸν Ἥρας τελείας. Τὸν δὲ κόκκυγα ῥιγῶντα καὶ πεφρικότα διὰ τὸν χειμῶνα, καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς. Τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. Τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. Τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. Καὶ παρ' Ἀργείοις, οἳ μέγιστον τῶν Ἑλλήνων τιμῶσι τὴν θεὸν, τὸ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ τῷ σκήπτρῳ κόκκυξ.

Ἀριστοτέλης] « Forte Ἀριστοφάνης » *Warton;* Ἀριστείδης conj. Preller. ad Polemon. p. 59. Equidem Ἀριστοκλῆς reposuerim (V. not. ad fr. 5 Aristoclis). Idem etiam Grashofio in mentem venit (*J. Jahrb.* 1829 p. 143). Incerta tamen res est, fierique potest ut recte nomen Aristotelis se habeat, atque caput majoris operis mythologici, non peculiaris libellus significetur verbis : ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν (sic Toup. et Hemsterh. pro ἱερῷ). Sin peculiare opus erat, quæritur an non *Aristotelis Argivi* fuerit, sive ejus quem una cum *Dinia Argivo* memorat Plutarchus in Arato (c. 3), sive alius. — Hermione, si recte se nomen habet, fortasse est Ceres Hermione (v. Athen. XIV, p. 624, 655; Phot. v. Ἑρμιόνη. De Cerere Hermione ap. Syracusanos v. Hesych. v. Ἑρμιόνη). Preller. pro Ἑρμιόνης scribi vult Ἥρας, Grashof. proponit ἐν τῇ περὶ Ἥρας καὶ Διὸς ἱερῶν διατριβῇ. Scilicet pro ἰδιώτερον cod. Florent. habet ἡ διατριβῇ. — In extremis codd. : παρ' Ἀργείοις δὲ οἱ μέγιστοι... τὸ δὲ ἄγαλμα. Correxit Hemsterhusius.

---

tur, nunc appellatur Coccyx. Porro die isto Jovem narrat ingentem excitasse tempestatem; Junonem autem solam ad montem hunc venientem consedisse eo loco, ubi nunc est fanum Junonis Pronubæ. Tunc cuculum tempestate rigentem et trementem in genua Junonis devolasse ibique consedisse. Junonem misertam veste eum sua texisse. Jovem statim mutata forma Junonem comprehendisse, eique matris causa concubitum deprecanti promisisse se uxorem ipsam ducturum esse. Quare apud Argivos, qui præ ceteris Græcis deam hanc colunt, signum Junonis in templo throno insidens manu tenet sceptrum, sceptroque insidet cuculus.

DIOSCORIDES.

Antequam ad discipulos Aristotelis transeamus, interponere liceat fragmenta Dioscoridis. Casu enim factum est ut omissa sint in libro secundo, ubi Dioscorides cum reliquis Isocratis discipulis componendus erat. Etenim Dioscoridem (*) qui Λακωνικὴν πολιτείαν (fr. 1—3) scripsit, eundem habeo, cujus libros Περὶ νομίμων citantur fr. 4. Hujus vero operis pars fuerint ea, quæ Περὶ τῶν παρ' Ὁμήρῳ νόμων leguntur fragm. 5, ubi Dioscorides appellatur ὁ Ἰσοκράτους μαθητής. Quod si verum est, admitti nequit conjectura Jonsii (De scr. hist. phil. II, 6, 5), qui nostrum esse putat Dioscoridem (**) patrem Zenonis Tarsensis, qui a. 207 Chrysippo in schola successit (V. Clinton. ad h. a.); nam Isocrates mortuus est a. 338, Chrysippus vero natus est a. 260, quo tempore Noster jam senex esse debuit. Quare Chrysippi mentio in fragm. 5 non a Dioscoride profecta, sed ab Athenæo interposita esse putanda est. — Ceterum ita rem Dioscoridem in libris suis tractasse, ut quæ de institutis et moribus Græcorum exponeret, ad præcepta philosophiæ moralis revocaret, ex fragm. 5 patet luculentissime.

ΛΑΚΩΝΙΚΗ ΠΟΛΙΤΕΙΑ.

1.

Plutarch. Lyc. c. 11, 7: (Lycurgo Alcander oculum excusserat;) Τοῦ δὲ πάθους ὑπόμνημα Λυκοῦργος ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερὸν, ἣν Ὀπτιλέτιν προσηγόρευσε· τοὺς γὰρ ὀφθαλμοὺς ὀπτίλους οἱ τῇδε Δωρεῖς καλοῦσιν. Ἔνιοι μέντοι τὸν Λυκοῦργον, ὧν καὶ Διοσκορίδης ἐστὶν ὁ συντεταγμένος τὴν Λακωνικὴν πολιτείαν, πληγῆναι μέν φασιν, οὐ τυφλωθῆναι δὲ τὸν ὀφθαλμόν· ἀλλὰ καὶ τὸ ἱερὸν τῇ θεῷ τῆς ἀκέσεως χαριστήριον ἱδρύσασθαι. De re v. Müller. *Dor.* I, p. 138 et 397.

E LIBRO SECUNDO.

2.

Athenæus IV, p. 140, B: Ἀλλὰ μὴν οὐδ' ὀρθαγορίσκοι λέγονται, ὥς φησιν ὁ Πολέμων, οἱ γαλαθηνοὶ χοῖροι, ἀλλ' ὀρθραγορίσκοι, ἐπεὶ πρὸς τὸν ὄρθρον πιπράσκονται, ὡς Περσαῖος ἱστορεῖ ἐν τῇ Λακωνικῇ πολιτείᾳ, καὶ Διοσκουρίδης ἐν δευτέρῳ Πολιτείας καὶ Ἀριστοκλῆς ἐν τῷ προτέρῳ καὶ οὗτος τῆς Λακώνων πολιτείας.

3.

Plutarch. Agesil. c. 35: Ὀλίγαις δὲ ὕστερον ἡμέραις περὶ τὴν Μαντίνειαν ἐμαχέσαντο, καὶ τὸν Ἐπαμινώνδαν, ἤδη κρατοῦντα τῶν πρώτων, ἔτι δ' ἐγκείμενον καὶ κατασπεύδοντα τὴν δίωξιν, Ἀντικράτης Λάκων ὑποστὰς ἔπαισε δόρατι μὲν, ὡς Διοσκουρίδης ἱστόρηκε· Λακεδαιμόνιοι δὲ Μαχαιρίωνας ἔτι νῦν τοὺς ἀπογόνους τοῦ Ἀντικράτους καλοῦσιν, ὡς μαχαίρᾳ πατάξαντος. Οὕτω γὰρ ἐθαύμασαν καὶ ὑπερηγάπησαν αὐτὸν φόβῳ τοῦ Ἐπαμινώνδου ζῶντος, ὥστε τιμὰς μὲν ἐκείνῳ καὶ δωρεὰς ψηφίσασθαι, τῷ γένει δ' ἀτέλειαν, ἣν ἔτι καὶ καθ' ἡμᾶς ἔχει Καλλικράτης, εἷς τῶν Ἀντικράτους ἀπογόνων.

(*) Alios Dioscorides duodecim recenset Jonsius I, 5, 57. De varia nominis scriptura (Διοσκορίδης et Διοσκουρίδης. Διουσκουρίδας in inscript. Bœotica) vide Dindorf. in Steph. Thes. s. v.

(**) Libros quos ad hunc Dioscoridem scripsit Chrysippus vide ap. Diog. L. VII, 190. 193. 197. 198. 200. 202.

DE LACONICA REPUBLICA.

1.

Lycurgus ad memoriam ejus rei sanciendam Minervæ templum posuit nomine Optiletidis: nam oculos Dorienses istius regionis ὀπτίλους vocant. Auctores habeo, inter eosque Dioscoridem, qui de republica Spartana scripsit, qui ictum quidem oculum, non tamen eo captum Lycurgum asserant: quin imo gratiarum actionis nomine pro medela deæ fanum id ab eo exstructum.

E LIBRO SECUNDO.

2.

Ceterum non *Orthagorisci*, ut ait Polemon, vocantur lactantes porcelli, sed *orthragorisci*, quod πρὸς τὸν ὄρθρον (*sub diluculum*) veneunt, ut Persæus tradit in Lacedæmoniorum Rep. et Dioscorides secundo Reipublicæ libro et Aristocles in priore librorum, quos et ipse de Lacedæmoniorum rep. scripsit.

3.

Paucis post diebus ad Mantineam pugnatum est. Ibi Epaminondam, quum primos in fugam conjectos insequeretur, Anticrates Laco sustinens hasta feriit, ut quidem Dioscorides narrat; nam Lacedæmonii eos qui ab Anticrate genus ducunt etiamnum Machærionas vocant; quod μαχαίρᾳ, i. e. ense, Epaminondam percusserit. Adeo enim Epaminondæ terror carum Spartanis ejus percussorem reddidit, ut ei honores ac munera, posteritati immunitatem decreverint; qua etiam nostra ætate Callicrates unus de Anticratis posteris fruitur.

ΠΕΡΙ ΝΟΜΙΜΩΝ.

4.

Photius Lex.: Σκυτάλη... Διοσκουρίδης (Διοσκορίδης Suidas) δὲ ἐν τοῖς Περὶ νομίμων τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην δύο παρόντων μαρτύρων καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι· καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. E Photio eadem Suidas; ex Suida Eudocia p. 280 et Musurus in schol. Ald. ad Aristophan. Av. 1283. Cf. Müller. *Dor.* II, p. 315.

ΠΕΡΙ ΤΩΝ ΠΑΡ' ῾ΟΜΗΡῼ ΝΟΜΩΝ.

5.

Suidas v. Ὅμηρος: Ὅτι Διοσκορίδης ἐν τοῖς Παρ' Ὁμήρῳ νόμοις φησίν, ὡς ὁ ποιητὴς ὁρῶν τὴν σωφροσύνην οἰκειοτάτην ἀρετὴν οὖσαν καὶ πρώτην τοῖς νέοις, ἔτι δὲ ἁρμόττουσαν καὶ καλῶν χορηγὸν οὖσαν, βουλόμενος πάλιν (Athen. πᾶσιν) ἐμφῦσαι αὐτὴν ἀπ' ἀρχῆς καὶ ἐφεξῆς, ἵνα τὴν σχολὴν καὶ τὸν ζῆλον ἐν τοῖς καλοῖς ἔργοις ἀναλίσκωσι, καὶ ὦσιν εὐεργετικοὶ καὶ κοινοὶ πρὸς ἀλλήλους, εὐτελῆ κατεσκεύασε πᾶσι τὸν βίον καὶ αὐτάρκη, λογιζόμενος τὰς ἐπιθυμίας καὶ τὰς ἡδονὰς ἰσχυροτάτας γίνεσθαι καὶ πρώτας ἔτι τε καὶ ἐμφύτους οὔσας περὶ ἐδωδὴν καὶ πόσιν· τοὺς δὲ διαμεμενηκότας ἐν ταῖς εὐτελείαις, εὐτάκτους καὶ περὶ τὸν ἄλλον βίον γινομένους ἐγκρατεῖς. Ἐφ' ᾧ καὶ ἁπλῆν ἀποδέδωκε τὴν δίαιταν πᾶσι, καὶ τὴν αὐτὴν ὁμοίως βασιλεῦσί τε καὶ ἰδιώταις, λέγων (Od. α', 138)·

παρὰ δὲ ξεστὴν ἐτάνυσσε τράπεζαν·
σῖτον δ' αἰδοίη ταμίη παρέθηκε φέρουσα,
δαιτρὸς δὲ κρειῶν πίνακας παρέθηκεν ἀείρας,

καὶ τούτων ὀπτῶν καὶ ὡς ἐπιτοπολὺ βοείων. Παρὰ δὲ ταῦτα οὔτε ἐν ἑορταῖς οὔτ' ἐν ἄλλῃ συνόδῳ παρατίθησιν οὐδέν· καίτοι πολλάκις τὸν Ἀγαμέμνονα ποιήσας δειπνίζοντα τοὺς ἀρίστους, Μενέλαον δὲ τοὺς Ἑρμιόνης γάμους ποιοῦντα καὶ τοῦ υἱοῦ καὶ τῆς θυγατρός· καὶ τοῦ Τηλεμάχου πρὸς αὐτὸν παραγενομένου,

(Od. δ', 66) νῶτα βοὸς παρέθηκεν ἀείρας
ὀπτ', ἐν χερσὶν ἑλών, τά ῥά οἱ γέρα πάρθεσαν αὐτῷ·

οὐ γὰρ θρῖα καὶ κάνδυλον καὶ ἄμητας μελίπηκτά τε τοῖς βασιλεῦσιν ἐξαίρετα παρατίθησιν Ὅμηρος, ἀλλὰ ἀφ' ὧν εὖ ἕξειν ἔμελλον τὸ σῶμα καὶ τὴν ψυχήν. Καὶ Αἴαντα μετὰ τὴν μονομαχίαν νώτοισι γέραιρεν ὁ Ἀγαμέμνων, καὶ Νέστορι γεραιῷ ὄντι κρέας ὀπτὸν βοὸς δίδωσι, καὶ Ἀλκίνῳ δὲ, τρυφερὸν ἠρημένῳ βίον· σπουδάζων ἡμᾶς ἀποστῆσαι τῶν ἀτάκτων ἐπιθυμιῶν. Καὶ Νέστορα δὲ ποιεῖ παρὰ τῇ θαλάσσῃ τῷ Ποσειδῶνι κεχαρισμένην τινὰ θυσίαν ἐπιτελοῦντα, καὶ πολλοὺς ἔχοντα, τάδε παρακελευόμενον,

Ἀλλ' ἄγ', ὁ μὲν πεδίονδ' ἐπὶ βοῦν ἴτω,

καὶ τὰ ἑξῆς. Καὶ Ἀλκίνους δὲ τοὺς τρυφερωτάτους ἑστιῶν Φαίακας καὶ τὸν Ὀδυσσέα ξενίζων, ἐπιδεικνύμενος αὐτῷ τὴν τοῦ κήπου κατασκευὴν καὶ τῆς οἰκίας καὶ τὸν αὐτοῦ βίον, τοιαύτας παρατίθεται τραπέζας· καὶ τοὺς μνηστῆρας, ὑβριστὰς ὄντας καὶ πρὸς ἡδονὰς ἀνειμένους, οὔτε ἰχθύας ἐσθίοντας ποιεῖ οὔτε ὄρνιθας οὔτε μηλίπηκτα, περιελὼν παντὶ σθένει τὰς μαγειρικὰς μαγγανείας.

Hæc Suidas sumpsit ex Athenæo I, 9, E, sed integriore, quam nos habemus, libro usus. Caput hoc in Athenæi Exc. inscribitur: Περὶ τοῦ τῶν ἡρώων καθ' Ὅμηρον βίου. Dioscoridis mentio omissa est. Discrepantias singulas non enotabo. V. Bernhardy ad Suid. et Dindorf. ad Athen. — Καὶ Νέστορα δὲ ποιεῖ κτλ.] Hæc manca sunt. Athenæus noster pleniora: Καὶ Νέστωρ δὲ βόας θύει Ποσειδῶνι παρὰ τῇ

DE INSTITUTIS.

4.

Dioscorides De institutis dicit, feneratores Spartæ dividere scytalen, duobus testibus præsentibus, et in utraque ejus parte contractum scribere; et alteram quidem uni ex testibus dare, alteram vero sibi reservare.

DE HOMERICIS INSTITUTIS.

5.

Dioscorides in Homericis Institutis ait, poetam, quum videret temperantiam in juvenibus virtutem esse primariam et ætati illi maxime convenientem, quæque honesta omnia suppeditaret, quumque eam ab initio et deinceps animis illorum inserere vellet, ut omne otium et studium in rebus honestis consumerent, essentque benefici et mutuis officiis se juvarent: victum vilem et paratu omnibus facilem tribuisse reputantem cupiditates illas et voluptates, quæ in cibo et potu versantur, esse vehementissimas et primas hominumque animis natura insitas; illos vero, qui frugalitati semper studuissent, in reliqua etiam vita moderatos et continentes esse. Quare simplicem victum omnibus tribuit eundemque regibus pariter ac privatis, dicens: *Dolatam vero apposuit mensam; verecunda autem proma panem apposuit; structor vero carnium patinas;* carnium nempe assatarum, earumque plerumque bubularum. Præter hæc vero neque in diebus festis neque in alio conventu quidquam aliud apponit; quamvis sæpius faciat Agamemnonem convivio excipientem Græcorum principes. Menelaus etiam celebrat nuptias Hermiones filiæ itemque filii. Quum autem Telemachus ad eum venisset, ei *Terga bovis apposuit assa, manibus suis ea capiens, quæ ipsi ut eximia apposita erant:* haud enim thria vel candylon vel ametas mellitasve placentas regibus præ ceteris ut eximia apponit Homerus, sed talia, quæ et corpori et animo vigorem datura sint. Et Ajacem post certamen singulare Agamemno tergo bubulo donat. Nestori quoque seni, et Alcinoo laute et delicate viventi carnem bubulam

θαλάττῃ διὰ τῶν φιλτάτων καὶ οἰκειοτάτων τέκνων, βασιλεὺς ὢν καὶ πολλοὺς ἔχων ὑπηκόους. Ὁσιωτάτη γὰρ αὕτη ἡ θυσία θεοῖς καὶ προσφιλεστέρα ἡ διὰ τῶν οἰκείων καὶ εὐνουστάτων ἀνδρῶν. — In postremis Athenæus : τὰς μαγειρικὰς μαγγανείας καὶ τὰ, ὡς ὁ Μένανδρός φησιν, ὑποβινητιῶντα βρώματα, καὶ τὸ παρὰ πολλοῖς λασταυροκάκκαβον καλούμενον βρῶμα, ὥς φησι Χρύσιππος, οὗ ἡ κατασκευὴ περιεργοτέρα. Quæ ipse Athenæus de suo addidit, sicuti mox Philochori locum interposuit. Etenim pergit Excerptor Athenæi c. 16 : Πρίαμος δὲ παρὰ τῷ ποιητῇ καὶ ὀνειδίζει τοῖς υἱοῖς ἀναλίσκουσι τὰ μὴ νενομισμένα,

Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.

[Φιλόχορος δὲ ἱστορεῖ καὶ κεκωλῦσθαι Ἀθήνησιν ἀπέκτου ἀρνὸς μηδένα γεύεσθαι, ἐπιλιπούσης ποτὲ τῆς τῶν ζῴων τούτων γενέσεως.] Ἑλλήσποντον δὲ Ὅμηρος ἰχθυόεντα προσαγορεύων, καὶ τοὺς Φαίακας πλωτικωτάτους ποιῶν, καὶ ἐν τῇ Ἰθάκῃ εἰδὼς λιμένας πλείους καὶ νήσους προσεχεῖς πολλὰς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ ἀγρίων ὀρνίθων, καὶ εἰς εὐδαιμονίαν δὲ καταριθμῶν τὸ τὴν θάλασσαν ἰχθῦς παρέχειν, ὅμως τούτων οὐδὲν οὐδένα ποιεῖ προσφερόμενον· καὶ μὴν οὐδ' ὀπώραν παρατίθησί τινι, καίπερ οὖσαν πολλὴν, καὶ ἥδιστα ταύτης μνημονεύων καὶ πάντα χρόνον παρασκευάζων ἀθάνατον. « Ὄγχνη γὰρ, φησὶν, ἐπ' ὄγχνῃ » καὶ τὰ ἑξῆς. Ἀλλὰ μὴν οὐδὲ στεφανουμένους οὐδὲ μυρουμένους ποιεῖ, ὥσπερ οὐδὲ θυμιῶντας, ἀλλὰ πάντων τούτων ἀπολύων τοὺς ἀνθρώπους εἰς εὐτέλειαν καὶ αὐτάρκειαν ἐξαιρεῖται τοὺς πρὸ τοῦ. Καὶ θεοῖς δὲ ἁπλῆν ἀποδίδωσι δίαιταν, νέκταρ καὶ ἀμβροσίαν. Καὶ τοὺς ἀνθρώπους δὲ ποιεῖ τιμῶντας αὐτοὺς ἀπὸ τῆς διαίτης, ἀφελὼν λιβανωτὸν καὶ σμύρναν καὶ στεφάνους καὶ τὴν περὶ ταῦτα τρυφήν. Καὶ τῆς ἁπλῆς δὲ ταύτης διαίτης οὐκ ἀπλήστως ἀπολαύοντας παρίστησιν, ἀλλ' ὡς οἱ κράτιστοι τῶν ἰατρῶν ἀφαιροῦσι τὰς πλησμονάς.

Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,

καὶ τὴν ἐπιθυμίαν πληρώσαντες οἱ μὲν ἐξώρμων ἐπὶ μελέτην ἀθλητικὴν, δίσκοισι τερπόμενοι καὶ αἰγανέαις, τῇ παιδιᾷ τὰ πρὸς σπουδὴν ἐκμελετῶντες· οἱ δὲ κιθαρῳδῶν ἠκροῶντο τὰς ἡρωικὰς πράξεις ἐν μέλει καὶ ῥυθμῷ ποιούντων.

Διὸ οὐδὲν θαυμαστὸν, τοὺς οὕτω τεθραμμένους ἀφλεγμάντους εἶναι τὰ σώματα καὶ τὰς ψυχάς. Ἐνδεικνύμενος οὖν καὶ τὴν εὐταξίαν ὡς ὑγιεινόν ἐστι καὶ εὔχρηστον καὶ κοινὸν, τὸν σοφώτατον Νέστορα πεποίηκε Μαχάονι τῷ ἰατρῷ τετρωμένῳ τὸν δεξιὸν ὦμον προσφέροντα οἶνον, ταῖς φλεγμοναῖς ἐναντιώτατον ὄντα — καὶ τοῦτον Πράμνειον, ὃν ἴδμεν παχὺν καὶ πολύτροφον — οὐ διψήσεως ἄκος, ἀλλ' ἐμφορήσεως ἕνεκα· πεπωκότι γοῦν παρακελεύεται συνεχῶς τοῦτο ποιεῖν· « Σὺ μὲν, φησὶ, καθήμενος πῖνε. » Καὶ ἐπιξύοντα τυρὸν αἴγειον, ἐπὶ δὲ κρόμυον ποτοῦ ὄψον, ἵνα πλεῖον πίνῃ, καίτοι ἀλλαχοῦ λέγων τὸν οἶνον ἐκλύειν τὴν ἰσχὺν καὶ ἀπογυιοῦν. Περὶ δὲ τοῦ Ἕκτορος Ἑκάβη, οἰομένη μένειν αὐτὸν τὸ καταλειπόμενον τῆς ἡμέρας,

---

assam apponit, ab immoderatis nimirum cupiditatibus nos abducere studens; Nestorem etiam, quum juxta mare gratum Neptuno sacrificium institueret, liberorum ministerio utentem facit, etiamsi multos haberet alios, ubi ait : *Sed age, alius quidem in campum ad bovem eat,* etc. Alcinous etiam Phæacibus deliciarum amantissimis epulum præbens, et Ulyssi, quem hospitio exceperat, hortos et domum victusque sui rationem ostendens tales apponit dapes. Ad hæc procos, homines petulantes et voluptatibus maxime deditos, nec pisces facit edentes, neque aves aut placentas mellitas : ut omnia gulæ irritamenta aboleret.

Priamus vero apud poetam objurgat etiam filios, quod ea, quæ nefas esset, absumerent :

agnorum atque hœdorum publici raptores.

[Philochorus vero memoriæ prodidit, Athenis quoque, quum defecisset aliquando pecudum genus, vetitum fuisse ne quis intonso agno vesceretur.] Porro, licet Hellespontum *piscosum* nominarit Homerus, et Phæacas navigationi inprimis operam dantes fecerit, et in Ithaca insula plures portus noverit, multasque in propinquo insulas, in quibus piscium et silvestrium volucrium magna esset copia, atque etiam in parte quadam felicitatis illorum locorum numerarit, quod pisces mare præbeat; neminem tamen aliquid horum comedentem inducit. Sed ne poma quidem et id genus fructuum mensis imposita facit, quamvis nec deesset copia, et lubens eorum mentionem fecerit poeta, et nullo tempore intermorientem eorundem proventum fuisse prodiderit, quum ait, *Pyra succedunt pyris*, et quæ sequuntur. Porro nec coronis, nec unguentis, nec suffimentorum odoribus utentes facit. Sed omnibus his deliciis eximens homines, in libertatem ac vitam paucis contentam, præsertim reges vindicat. Atque etiam diis simplicem tribuit victum, nectar et ambrosiam. Et homines inducit de ipsorum victu illos honorantes, procul ablegans thura, myrrham, coronas, aliasque in hoc genere delicias. Ac ne ipso quidem illo victu immoderatius utentes inducit : sed, quod præstantissimi faciunt medici, nimiam detrahit plenitudinem.

Postquam exempta fames epulis, mensæque remotæ,

postquam cibi potusque desiderium explessent, alii ad ludos athleticos exibant, discis jaculisque se oblectantes, et ludicro illo certamine ad seria sese exercentes : alii citharœdos audiebant, heroum res gestas modis numerisque exsequentes.

Quare nil mirum, tali modo enutritos nec corporibus turgescere, nec animis. Significans igitur etiam, quam salubris sit, quamque late patentem utilitatem habeat moderata vita, sapientissimum Nestorem Machaoni medico, quum in dextero humero vulnus accepisset, *vinum* porrigentem inducit, quod est tumoribus inflammationibusque maxime contrarium, illudque *Pramnium*, quod novimus crassum esse multumque alere; et id quidem

παρακαλεῖ πιεῖν σπείσαντα, προτρεπομένη εἰς θυμηδίαν. Ὁ δ' ὑπερτίθεται, πρὸς πρᾶξιν ἐξιών. Καὶ ἡ μὲν ἀπερισπάστως ἐπαινεῖ τὸν οἶνον, ὁ δὲ μετὰ ἄσθματος ἥκων ἀπωθεῖται· καὶ ἡ μὲν ἀξιοῖ σπείσαντα πιεῖν, ὁ δὲ καθημαγμένος ἀσεβὲς ἡγεῖτο. Οἶδε δὲ ὁ Ὅμηρος καὶ τὸ ὠφέλιμον καὶ τὸ σύμμετρον τοῦ οἴνου, οἷς τὸν χανδὸν ἕλκοντα αὐτὸν βλάπτεσθαι φησί. Καὶ κράσεων δὲ γένη διάφορα ἐπίσταται· οὐκ ἂν γὰρ Ἀχιλλεὺς τὸ ζωρότερον κεραίρειν διέστειλε, μὴ οὔσης τινὸς καθημερινῆς κράσεως. Ἴσως οὖν οὐκ ἐγίνωσκεν αὐτὸν εὐδιαφόρητον ἄνευ στερεμνίου σιτίου μίγματος, ὃ τοῖς ἰατροῖς διὰ τὴν τέχνην ἐστὶ δῆλον· τοῖς γοῦν καρδιακοῖς μετὰ οἴνου σιτῶδες ἀναμίσγουσί τι πρὸς κατοχὴν τῆς δυνάμεως. Ἀλλ' ἐκεῖνος τῷ μὲν Μαχάονι μετ' ἀλφίτου καὶ τυροῦ δέδωκε τὸν οἶνον, τὸν δ' Ὀδυσσέα ποιεῖ συνάπτοντα τὴν ἀπὸ τῶν σιτίων καὶ οἴνων ὠφέλειαν·

Ὅς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς.

Τῷ δὲ κωθωνιζομένῳ δίδωσι τὸν ἡδύποτον, οὕτω καλέσας αὐτόν·

Ἐν δὲ πίθοι οἴνοιο παλαιοῦ ἡδυπότοιο.

Ποιεῖ δὲ Ὅμηρος καὶ τὰς κόρας καὶ τὰς γυναῖκας λουούσας τοὺς ξένους, ὡς οὔτε φλεγμονὴν οὔτε ἀκρασίαν τῶν εὖ βεβιωκότων καὶ σωφρόνως ἁπτομένας. Ἀρχαῖον δὲ τοῦτο ἔθος. Λούουσι γοῦν καὶ αἱ Κωκάλου θυγατέρες, ὡς νενομισμένον, τὸν Μίνω παραγενόμενον εἰς Σικελίαν. Τῆς μέθης δὲ κατατρέχων ὁ ποιητής, τὸν τηλικοῦτον Κύκλωπα ὑπὸ μικροῦ σώματος διὰ ταύτην ἀπολλύμενον παρίστησι, καὶ Εὐρυτίωνα τὸν Κένταυρον· τούς τε παρὰ Κίρκῃ λέοντας ποιεῖ καὶ λύκους, ταῖς ἡδοναῖς ἐπακολουθήσαντας. Τὸν δὲ Ὀδυσσέα σώζει, τῷ Ἑρμοῦ λόγῳ πεισθέντα· διὸ καὶ ἀπαθὴς γίνεται. Ἐλπήνορα δέ, πάροινον ὄντα καὶ τρυφερόν, καταχρημνίζει. Καὶ Ἀντίνοος δέ, λέγων πρὸς Ὀδυσσέα « Οἶνός σε τρώει μελιηδής », αὐτὸς οὐκ ἀπείχετο τοῦ πώματος· διὸ καὶ τρωθεὶς ἀπώλετο, ἔτι κρατῶν τὸ ποτήριον. Ποιεῖ δὲ καὶ τοὺς Ἕλληνας ἐν τῷ ἀπόπλῳ μεθύοντας, διὸ καὶ στασιάζοντας· ὅθεν καὶ ἀπόλλυνται. Ἱστορεῖ δὲ καὶ τὸν δεινότατον Αἰνείαν τῶν Τρώων ἐν τῷ βουλεύεσθαι, διὰ τὴν ἐν τῇ μέθῃ παρρησίαν καὶ τὰς ἀπειλάς, ἃς Τρωσὶν ὑπέσχετο οἰνοποτάζων, ὑπομείναντα τὴν Ἀχιλλέως ὁρμὴν καὶ μικροῦ παραπολλύμενον. Καὶ Ἀγαμέμνων δὲ λέγει που περὶ αὐτοῦ·

Ἀλλ' ἐπεὶ ἀασάμην, φρεσὶ λευγαλέῃσι πιθήσας,
ἢ οἴνῳ μεθύων, ἤ μ' ἔβλαψαν θεοὶ αὐτοί.

εἰς τὴν αὐτὴν τιθεὶς πλάστιγγα τὴν μέθην τῇ μανίᾳ. — Οὕτω δὲ τὰ ἔπη ταῦτα προηνέγκατο Διοσκουρίδης ὁ Ἰσοκράτους μαθητής. — Καὶ ὁ Ἀχιλλεὺς δ' ὀνειδίζων τῷ Ἀγαμέμνονι, φησίν·

Οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων.

non modo ut sitis remedium, sed quo sese largius etiam ingurgitet : certe postquam ille jam bibit, hortatur hic, ut assidue id agat : *Tu*, inquit, *sede bibeque.* Caseumque caprinum deradentem facit, insuperque *cepam* adjicientem, quod *potioni* esset *obsonium*, quo copiosius biberet : quanquam alibi dicit, *vinum exsolvere vires, et enervare* hominem. Sed, quod ad Hectorem spectat, eum quidem Hecuba, reliquum diei in urbe manere cupiens, ad bibendum invitat libandumque, et ad lætitiam hortatur; at ille, ad conflictum reversurus, in aliud tempus differt. Et hæc quidem indesinenter laudat vinum; at ille, anhelosus veniens, respuit. Et instat quidem hæc, ut libet bibatque; at ille, utpote cruore respersus, fas esse negat. Novit vero Homerus modum etiam vini, et quatenus illud conducat; quandoquidem *avidius trahentibus nocere* ait. Atque etiam varia temperandi vini genera novit : non enim *meracius temperandum* dixisset Achilles, ni fuisset quædam quotidiana temperatura. At fortássis nescivit poeta, facile digeri vinum ac divanescere, solidiore cibo non admixto; quod medicis per artem compertum est. Itaque cardiacis hi vinum ita præbent, ut panem aut aliquem ex eo genere cibum admisceant, ad retinendam vini vim. At ille etiam Machaoni cum polenta et caseo dedit vinum; Ulyssem vero cibi ac potionis utilitatem conjungentem facit :

Quicumque vir vino satiatus et cibo.

Compotanti vero tribuit, quem *ducem* sive *suavem potum* vocat :

Ibi vero dolia vini veteris dulcis.

Apud eundem Homerum virgines atque feminæ hospites lavant; nec illi, ut qui vitam recte instituerunt, libidine inflammantur; et hæ illos modeste attrectant. Priscus enim ille mos fuit. Sane Cocali filiæ, pro consueto more, Minoem lavant in Siciliam adventantem. Ebrietatem vero vituperans poeta, Cyclopem tam vastum ob eam fingit ab homuncione pusillo interemptum, eàdemque de causa Eurytionem Centaurum periisse : et apud Circen Ulyssis socios in leones et lupos mutatos facit, quoniam voluptates essent secuti; Ulyssem vero servatum, quod Mercurii mandatis paruisset, qua prudentia illæsus evasit. Jam Elpenor, vino madens et luxu solutus, præceps ruit : et Antinous, sic Ulyssem adfatus,

Vinum te lædit mellitum;

quum ab ejus potu ipse non abstinuisset, sauciatus interiit manu adhuc tenens poculum. Græcos etiam, quum classis solvenda esset, vinolentos describit, et idcirco seditiosos; quod fuit illis exitiosum. Narrat idem, Æneam, Trojanorum omnium consultissimum, ob suam, quum vino madidus esset, in dicendo libertatem et audaciam, ac ea quæ inter pocula apud Trojanos minatus Græcis fuerat, Achillis impetum sustinentem pæne occubuisse. Et Agamemnonem alicubi de temulentia sic loquentem inducit :

Sed quoniam peccavi, animo obsecutus pernicioso,
sive ebrius, sive læsus cœlesti numinis ira :

eadem in lance ponentem ebrietatem et animi furorem. (Sic enim versus illos protulit Dioscorides, Isocratis discipulus.) Et Agamemnoni Achilles sic conviciatur :

Vino gravis, cui caninus est oculus.
Hæc disputavit Thessalum sophisma.

Ταῦτ' εἶπε τὸ Θέσσαλον σόφισμα (i. e. Myrtilus, unus e dipnosophistis).

Ceterum etiam eorum quæ in sequentibus de vita herorum Homericorum permulta affert, magnam partem e Dioscuride fluxisse probabile est.

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΑ.

6.

Diogenes L. I, 63 : Καὶ αὐτόν (τὸν Σόλωνα) φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασιν, ἐπειδὴ δακρύοι τὸν παῖδα τελευτήσαντα, πρὸς τὸν εἰπόντα « Ἀλλ' οὐδὲν ἀνύτεις », εἰπεῖν, « Δι' αὐτὸ δὲ τοῦτο δακρύω, ὅτι οὐδὲν ἀνύτω ».

7.

Athenæus XI, p. 507, D : Ἦν δὲ ὁ Πλάτων πρὸς τῇ κακοηθείᾳ καὶ φιλόδοξος, ὅστις ἔφησεν, Ἔσχατον τὸν τῆς δόξης χιτῶνα ἐν τῷ θανάτῳ αὐτῷ ἀποδυόμεθα, ἐν διαθήκαις, ἐν ἐκκομιδαῖς, ἐν τάφοις· ὥς φησι Διοσκουρίδης ἐν τοῖς Ἀπομνημονεύμασι. Hæc Athenæus sumpsisse videtur ex Commentariis Hegesandri.

8.

Schol. Apoll. Rhod. I, 741 : Διοσκορίδης δὲ ὑπὸ Ἀπόλλωνος (τὴν λύραν δοθῆναι Ἀμφίονι λέγει).

MEMORABILIA.

6.

Dioscorides in Memorabilibus refert Solonem, quum lacrimaretur lugens defunctum filium, diceretur que a quodam, « At nihil proficis, » respondisse : « At propter hoc ipsum illacrimor quod nihil proficio »

7.

Erat Plato non malevolus solum, verum etiam gloriæ cupidus; is qui dixerat : « Extremam tunicam, gloriæ cupiditatem, in ipsa morte deponimus, in testamentis, in exsequiis, in sepulcrorum monumentis, » ut tradit Dioscorides in Memorabilibus.

8.

Dioscorides ait ab Apolline Amphionem lyra donatum esse.

HERACLIDÆ PONTICI

LIBER DE REBUS PUBLICIS.

Aristotelis reliquiis subjicimus farraginem fragmentorum de rebus publicis, quæ inscribitur Ἐκ τῶν Ἡρακλείδου Περὶ Πολιτειῶν (1). Heraclides hic citra omnem dubitationem intelligendus est Ponticus, Platonis, Speusippi et Aristotelis discipulus, vir *doctus in primis* (Cic. Tusc. Qu. V, 3; De divin. I, 23), qui philosophiæ ratione, dictionis elegantia et ingenii jucunditate et calore scholam Platonicam referebat, dum propter eruditionis copiam et scriptorum multitudinem varietatemque Peripateticis erat similior. Quæ de vita ejus et studiis traduntur, diligenter excusserunt, simulque fragmenta scriptorum collegerunt J. J. G. Roulez. (Comment. De vita et scriptis Her. Pont. Lovan. 1828, 4) et E. Deswert. (Diss. de Her. Pont. Lovan. 1830, 8). Nos cur eodem munere fungamur nihil video. Nam ex operibus Heraclidæ, quæ sexaginta fere recensentur, perpauca tantum sunt quæ ad historiam quodammodo pertineant. Ac Diogenes (V, 88) quidem postquam ethica, physica, grammatica (2), musica, rhetorica enumeravit, postremo loco tamquam ἱστορικὰ memorat duo tantum hæcce : Περὶ τῶν Πυθαγορείων, καὶ Περὶ εὑρημάτων. Ex priore opere nonnulla servarunt Porphyrius, Clemens et Suidas (3); alterius memoria prorsus interiit. Præterea Heraclidæ ab aliis tribuuntur opus Περὶ νήσων (1), et Περὶ χρηστηρίων. Hoc idem esse puto cum eo, cujus inscriptionem Clemens ponit : Κτίσεις ἱερῶν (2). — Cum opere De

(1) Primum hæc edita sunt una cum Æliani Variis Historiis a Perusco, Romæ 1545, 4; deinde a Cragio in libro De Republica Lacedæmoniorum, 1593, 4 (repetita an. 1613 et 1621 et in Gronov. Thes. Ant. tom. VI, p. 2821 sqq.); nuper a Kœlero (Heraclidæ Pontici fragm. Hal. 1804, 8) et a Corayo una cum Æliano, in Prodromo Bibl. Gr., Paris. 1805.

(2) Inter grammatica ponuntur : Περὶ τῆς Ὁμήρου καὶ Ἡσιόδου ἡλικίας α'. β'. Περὶ Ἀρχιλόχου καὶ Ὁμήρου. Περὶ τῶν τριῶν τραγῳδιοποιῶν α'. Περὶ ποιητικῆς καὶ τῶν ποιητῶν. Ad librum De Homeri ætate pertinet locus Vitæ Hom. ed. Iriart. p. 233 : Ἡρακλείδης πρεσβύτερον Ὅμηρον Ἡσιόδου λέγει. Aspasius ad Aristot. Eth. Nic. III, 1 : Λέγει δὲ καὶ περὶ Αἰσχύλου καὶ Ἡρ. Π. ἐν α' Περὶ Ὁμήρου ὡς κινδυνεύοντος ἐπὶ τῷ τῶν μυστικῶν περιφέρειν τινὰ δοκεῖν. Cf. not. ad fr. 31, 3. — De Antimacho Heraclides laudatur ap. Procl. ad Tim. I, p. 28 (v. locum in Duridis fr. 67).

(3) Περὶ Πυθαγορείων. — Porphyrius De abstin. I, p. 40 : Ἱστοροῦσί τινες καὶ αὐτοὺς ἅπτεσθαι τῶν ἐμψύχων τοὺς Πυθαγορείους ὅτε θύοιεν θεοῖς. Τοιαῦτα μὲν καὶ τὰ παρὰ Κλωδίῳ καὶ Ἡρακλείδῃ τῷ Ποντικῷ Ἑρμάχῳ τε τῷ Ἐπικουρείῳ καὶ τοῖς ἀπὸ τῆς στοᾶς καὶ τοῦ περιπάτου. — Clemens Alex. Strom. II, p. 179, 28 Sylb. : Πυθαγόραν ὁ Ποντικὸς Ἡρακλείδης ἱστορεῖ τὴν ἐπιστήμην τῆς τελειότητος τῶν ἀρετῶν τῆς ψυχῆς εὐδαιμονίαν εἶναι παραδεδωκέναι.

Suidas : Ἐμπεδότιμος. Οὗτος ἔγραψε Περὶ φυσικῆς ἀκροάσεως· περὶ οὗ λέγει ὁ Παραβάτης ἐν τοῖς ἐπιγραφομένοις Κρονίοις· « Ἡμεῖς δὲ Ἐμπεδοτίμῳ καὶ Πυθαγόρᾳ πιστεύοντες, οἷς τε ἐκεῖθεν λαβὼν Ἡρακλείδης ὁ Ποντικὸς ἔφη, καὶ μικρῷ πρότερον καὶ ὁ κλεινὸς ἡμῖν ἔδειξε καὶ ἱεροφάντης Ἰάμβλιχος. Cf. Clem. Alex. Strom. I, p. 334.

Ioh. Lydus De mens. IV, 29, p. 181 ed. Rœther : Ὁ δὲ Ἡρακλείδης φησὶν, ὡς εἴ τις τὴν κύαμον ἐν κενῇ θήκῃ ἐμβαλὼν ἀποκρύψει τῇ κόπρῳ ἐπὶ τετταράκοντα πάσας ἡμέρας, εἰς ὄψιν ἀνθρώπου σεσαρκωμένου μεταβαλόντα τὸν κύαμον εὑρήσει, καὶ διὰ τοῦτο τὸν ποιητὴν φάναι

ἶσόν τοι κυάμους τε φαγεῖν κεφαλάς τε τοκήων.

Subjicere his liceat quæ ex libro De *Abari*, cujus Diogenes nullam fecit mentionem, traduntur :

Ἄβαρις. — Plutarch. Quomodo poet. aud. deb. p. 14, E : Οὐ γὰρ μόνον τὰ Αἰσώπεια μυθάρια καὶ τὰς ποιητικὰς ὑποθέσεις, καὶ τὸν Ἄβαριν τὸν Ἡρακλείδου, καὶ τὸν Λύκωνα τὸν Ἀρίστωνος διερχόμενοι, ἀλλὰ καὶ τὰ περὶ τῶν ψυχῶν δόγματα μεμιγμένα μυθολογίᾳ μεθ' ἡδονῆς ἐνθουσιῶσι.

Bekker Anecd. p. 145, 21 : Ἡρακλείδου Ποντικοῦ τῶν εἰς Ἄβαριν ἀναφερομένων· « Ἔφη δὲ τὸ δένδρον αὐτῷ τὸν δαίμονα, νεανίαν γενόμενον, ἐπιθεῖναι, προστάξειν δὲ πιστεύειν περὶ θεῶν, ὅτι ὡς οἷόντε καὶ τῶν ἀνθρωπίνων ἐπιστρέφονται πραγμάτων. »

Id. ib. 178, 27 : Ἡρακλείδου Ποντικοῦ ἐκ τοῦ δευτέρου λόγου τῶν εἰς τὸν Ἄβαριν ἀναφερομένων· « Ἐκ δὲ τῶν ἐγγὺς φωλεῶν ἐξείρπυσαν ὄφεις ἐπὶ τὸ σῶμα σφοδρῶς ὁρούοντες· ἐκωλύοντο μέντοι ὑπὸ τῶν κυνῶν, ὑλακτούντων αὐτούς. »

Liber Ζωροάστρης inscriptus, quem memorat Plutarch. Adv. Colot. p. 1115, A, physici maxime argumenti fuisse videtur, ut ex ceteris libris, quibuscum componitur, augurari licet.

(1) Περὶ νήσων. Stephan. Byz. : Ὠλίαρος, νήσων τῶν Κυκλάδων μία, περὶ ἧς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ νήσων οὕτω φησίν· « Ὠλίαρος Σιδωνίων ἀποικία ἀπέχουσα Πάρου σταδίους ιη' (sic codd.; νη' edd.).

Harpocratio : Στρύμη· Δημοσθένους ἐν τῷ Περὶ τοῦ τριηραρχήματος. Ἡρακλείδης ἢ Φιλοστέφανος ἐν τῷ Περὶ νήσων φησίν· « Ἀποικίαι δέ εἰσι Θασίων τῆς Θρᾴκης Γάληψος καὶ Στρύμη ἡ νῆσος. » Ἔστι δὲ ἐμπόριον Θασίων. Μνημονεύει τῶν Θασίων πρὸς Μαρωνείτας περὶ τῆς Στρύμης ἀμφισβητήσεως Φιλόχορος ἐν ε', Ἀρχίλοχον ἐπαγόμενος μάρτυρα.

Plinius IV, 5, 23 : *Melos cum oppido, quam Aristides Byblida appellat, Aristoteles Zephyrium, Callimachus Mimallida, Heraclides Siphnum et Acyton.* Suidas v. Νάξος... Καὶ κρήνη δὲ καθ' Ἡρακλείδην ἐκεῖ, ἐξ ἧς οἶνος ῥεῖ μάλα ἡδύς.

(2) Κτίσεις ἱερῶν. Clem. Protr. c. 2, p. 11, 50 Sylb. : Ἡρακλείδης ἐν Κτίσεσιν ἱερῶν περὶ τὴν Ἀκαρνίαν φησὶν, ἔνθα τὸ Ἄκτιον ἔστιν ἀκρωτήριον καὶ τοῦ Ἀπόλλωνος τοῦ Ἀκτίου τὸ ἱερὸν ταῖς μυίαις προθύεσθαι βοῦν.

Περὶ χρηστηρίων. Clem. Alex. Strom. I, p. 139, 48 : Ἡ Σίβυλλα Ὀρφέως παλαιοτέρα· λέγεται γὰρ καὶ περὶ τῆς ἐπωνυμίας αὐτῆς καὶ περὶ τῶν χρησμῶν τῶν καταπεφημισμένων

insulis fortasse juncti erant libri De urbibus Græciæ et Asiæ. Nam primum apud Stephanum Byz. legitur : Μοψοπία, ἡ Ἀττική· ὁ πολίτης Μοψόπειος... Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν πρώτῳ ** Μοψοπίτης φησί. Quæ quidem ex geographico opere petita esse possunt. Neque tamen ea premerem, nisi alius locus exstaret apud Apollonium Hist. Mir. c. 19 : Ἡρακλείδης δὲ ὁ Κρητικὸς ἐν τῷ Περὶ τῶν ἐν τῇ Ἑλλάδι πόλεων κατὰ τὸ Πήλιον ὄρος φύεσθαί φησιν ἄκανθαν καρποφόρον, ἧς τὸν καρπὸν ἐάν τις τρίψας μετ' ἐλαίου καὶ ὕδατος χρίσῃ τὸ αὑτοῦ ἢ ἄλλου σῶμα, χειμῶνος ὄντος, οὐκ ἐπαισθήσεται τοῦ ψύχους. (Eadem narrata habes in fragmento De Pelio monte, quod Dicæarcho tribui solet. V. annot. ad Dicæarchi fragm.) Qui Κρητικὸς ibi nominatur Heraclides, prorsus est ignotus. Quare corrigendum esse viri docti ad unum omnes censuerunt. Ac Deswertus (p. 101. 168) quidem et Roulezius scribendum putarunt ὁ Ποντικός. Quæ violentior est mutatio. Contra manu lenissima Olearius (ad Philostratum p. 612) refinxit ὁ κριτικός. Intellexit autem Heraclidem Lycium sophistam. Fabricius (B. Gr. VI, p. 369) et Bernhardyus (ad Suid. v. Ἡρακλείδης) cogitarunt de Heraclide Pontico juniore, Didymi discipulo. Quamquam hujus nonnisi poetica scripta novimus. Proferri in medium etiam posset Heraclides Mopseates grammaticus (Steph. Byz. v. Μόψου ἑστία).

At Welckerus (*Kleine Schriften* I, p. 455) κριτικοῦ cognomentum ipsi nostro Pontico philosopho, utpote etiam grammaticis scriptis claro, vindicandum esse statuit. Ego quidem nullus dubito quin libri Περὶ νήσων et Περὶ τῶν ἐν Ἑλλάδι πόλεων ad eundem auctorem pertineant. Auctor vero qui fuerit, dirimi vix potest. Ponticum philosophum voce κριτικὸς (si recte ita scribitur) designari parum est probabile; facilius crediderim apud Stephanum v. Ὠλίαρος aut juniorem quendam Heraclidem Ponticum intelligendum esse, aut alium Heraclidem cum notissimo Pontico nostro male confundi. Ceterum quum apud Harpocrationem v. Στρύμη laudetur Ἡρακλείδης ἢ Φιλοστέφανος ἐν τῷ Περὶ νήσων, atque Philostephanum constet scripsisse non solum Περὶ νήσων, sed etiam Περὶ τῶν ἐν Ἀσίᾳ πόλεων, necnon *De Græciæ urbibus* (quamvis hic titulus nusquam disertis verbis apponatur) : oritur suspicio libros Περὶ νήσων et Περὶ τῶν ἐν Ἑλλάδι πόλεων, tamquam partes Περιηγήσεως conjungendos esse, atque Philostephanum Callimachium in suo opere Heraclidæ vestigia legisse, vel idem opus ab aliis Heraclidæ, ab aliis Philostephano fuisse vindicatum.

Præter allata ex Heraclide Pontico alia complura, quæ ad historiam pertinent, absque librorum unde deprompta sint notitia afferuntur. Sic Plutarchus in Vitis Solonis et Periclis (1) aliquoties

ἐκείνης εἶναι λόγοι πλείους, Φρυγίαν τε οὖσαν κεκλῆσθαι Ἄρτεμιν, καὶ ταύτην παραγενομένην εἰς Δελφοὺς ᾆσαι·

Ὦ Δελφοὶ, θεράποντες ἑκηβόλου Ἀπόλλωνος,
ἦλθον ἐγὼ χρήσουσα Διὸς νόον αἰγιόχοιο,
αὐτοκασιγνήτῳ κεχολωμένη Ἀπόλλωνι.

Ἔστι δὲ καὶ ἄλλη Ἐρυθραία Ἡροφίλη καλουμένη. Μέμνηται τούτων Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ χρηστηρίων.

Schol. Hesiod. Scut. 70 : Πάγασος, πόλις τῆς Θεσσαλίας, τόπος ὠνομασμένος παρὰ τὸ ἐκεῖ τὴν Ἀργὼ πεπῆχθαι. Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῇ Περὶ χρηστηρίων τὸν ἐν Παγασαῖς Ἀπόλλωνα ὑπὸ Τροφωνίου ἱδρῦσθαί φησι. (διὰ τὸ ἐν Παγ. Ἀπόλλωνος ὑπὸ Τροφωνίου ἱερὸν ἱδρῦσθαι cod. B. ap. Gaisf. i. e. « Sec. Heraclidem Pagasæ nomen habent inde quod architectus ille Troph. Apollinis templum ibi πεπῆχθαι fertur. »)

Plutarch. De Is. et Osir. c. 27, p. 361, F : Οὐ γὰρ ἄλλον εἶναι Σάραπιν ἢ τὸν Πλούτωνά φασι, καὶ Ἶσιν τὴν Περσέφασσαν, ὡς Ἀρχέμαχος ὁ Εὐβοεὺς, καὶ ὁ Ποντικὸς Ἡρακλείδης τὸ χρηστήριον ἐν Κανώβῳ Πλούτωνος ἡγούμενος εἶναι.

Schol. Pind. Ol. VII, 111 : Μαντεῖον ἦν ἐν Ὀλυμπίᾳ, οὗ ἀρχηγὸς γέγονεν Ἴαμος τῇ διὰ τῶν ἐμπύρων μαντείᾳ, ᾗ καὶ μέχρι τοῦ νῦν οἱ Ἰαμίδαι χρῶνται. Ἀναλαβόντες γὰρ τὰ τῶν ἱερείων δέρματα ἐπιτιθέασιν εἰς τὸ πῦρ καὶ οὕτω μαντεύονται... Ἡρακλείδης δὲ ἐν τῷ Περὶ χρησμῶν (scr. χρηστηρίων) τοῖς δέρμασί φησιν αὐτοὺς μαντεύεσθαι ἀφορῶντας εἰς τὰς σχισμὰς τῶν δερμάτων, πότερον εὐθεῖαί εἰσιν ἢ οὔ.

Zenob. II, 84 : Βοιωτοῖς μαντεύσαιο : αὕτη καταρατική ἐστιν. Ἡρακλείδης γὰρ φησὶ, μαντευομένοις τοῖς Θηβαίοις περὶ πολέμου ἀπεκρίνατο ἡ προφῆτις ἡ ἐν Δωδώνῃ, νίκην αὐτοῖς ἀσεβήσασιν ἔσεσθαι. Εἷς δὲ τῶν θεωρῶν ἁρπάσας Μυρτίλαν τὴν προφῆτιν, ἐνέβαλεν εἰς θερμοῦ παρακείμενον λέβητα. Ἄλλοι δὲ φασὶν, ὅτι Θηβαίοις πολεμοῦσι Βόμβος (Βόμβρος Plut.) μάντις πλείους ἔφη νικήσειν, εἰ προθύσαιεν τῶν ἡγεμόνων ἕνα. Οἱ δὲ ἀποκτείναντες τὸν Βόμβον ἐνίκησαν. Eadem Plutarch. Prov. 9. « Aliter Cod. Vatican. II, 67. Bodl. : Ἠσέβησαν γὰρ εἰς τὴν ἱέρειαν ἐμβαλόντες αὐτὴν εἰς τὸν ἐν Δωδώνῃ λέβητα ζέοντα, ἐρωτικῶς διατεθεῖσαν εἰς ἕνα τῶν θεωρῶν. Cf. Müller. *Min.* p. 385. » *Schneidewin.*

(1) Plutarch. Solon. 1 : Τὴν δὲ μητέρα τοῦ Σόλωνος Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ τῆς Πεισιστράτου μητρὸς ἀνεψίαν γενέσθαι.

Id. ib. 22, 4, de legibus Solonis : Ἐκεῖνο δ' ἤδη σφοδρότερον, τὸ μηδὲ τοῖς ἐξ ἑταίρας γενομένοις ἐπάναγκες εἶναι τοὺς πατέρας τρέφειν, ὡς Ἡρακλείδης ἱστόρηκεν ὁ Ποντικός. Ὁ γὰρ ἐν γάμῳ παρορῶν τὸ καλὸν οὐ τέκνων ἕνεκα δῆλός ἐστιν, ἀλλ' ἡδονῆς ἀγόμενος γυναῖκα, τόν τε μισθὸν ἀπέχει καὶ παρρησίαν αὑτῷ πρὸς τοὺς γενομένους οὐκ ἀπολέλοιπεν, οἷς αὐτὸ τὸ γενέσθαι πεποίηκεν ὄνειδος.

Idem Solon. 31, 4 : Pisistratus plerasque Solonis leges retinuit, iisque novas nonnullas addidit, ὧν ἔστι καὶ ὁ τοὺς πηρωθέντας ἐν πολέμῳ δημοσίᾳ τρέφεσθαι κελεύων. Τοῦτο δέ φησιν Ἡρακλείδης καὶ πρότερον ἐπὶ Θερσίππῳ πηρωθέντι τοῦ Σόλωνος ψηφισαμένου, μιμήσασθαι τὸν Πεισίστρατον.

Idem De glor. Athen. c. 3, p. 347 : Τὴν τοίνυν ἐν Μαραθῶνι μάχην ἀπήγγειλεν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, Θέρσιππος ὁ Ἐρωεύς. Οἱ δὲ πλεῖστοι λέγουσιν Εὐκλέα.

Idem Sol. 32, 3 : Ἐπεβίωσε δ' οὖν ὁ Σόλων ἀρξαμένου τοῦ Πεισιστράτου τυραννεῖν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, συχνὸν χρόνον, ὡς δὲ Φανίας ὁ Ἐρέσιος ἐλάττονα δυεῖν ἐτῶν.

Idem Pericl. c. 27, 4 : Ἔφορος δὲ καὶ μηχαναῖς χρήσασθαι τὸν Περικλέα τὴν καινότητα θαυμάσαντα Ἀρτέμωνος τοῦ μηχανικοῦ παρόντος, ὃν χωλὸν ὄντα καὶ φορείῳ πρὸς τὰ κατε-

ad Nostrum provocat. Quæ res Deswertum movit, ut Heraclidem præter opus Περὶ βίων sive *De vitarum generibus*, quod inter physica scripta Diogenes recenset, etiam *Vitas clarorum virorum* scripsisse statuat. Quod ut nequit pernegari, sic nihil est cur hanc sententiam amplectamur. Nam quantopere scripta Heraclidæ, ea maxime quæ ad moralem philosophiam spectant, rebus historicis referta fuerint, luculentissima docent exempla. Ipse Plutarchus in Vita Camilli de Roma a Gallis capta Heraclidem ἐν τῷ Περὶ ψυχῆς excitat (1). Alia de fatis populorum deque vita virorum illustrium (inter eosque etiam Periclis) narrantur ex libris Περὶ δικαιοσύνης (2), Περὶ ἡδονῆς (1), Περὶ ἐρωτικῶν (2). Ac consentaneum est eodem modo historiarum exemplis col-

πείγοντα τῶν ἔργων προσκομιζόμενον ὀνομασθῆναι Περιφόρητον. Τοῦτο μὲν οὖν Ἡρακλείδης ὁ Ποντικὸς ἐλέγχει τοῖς Ἀνακρέοντος ποιήμασιν, ἐν οἷς ὁ Περιφόρητος Ἀρτέμων ὀνομάζεται πολλαῖς ἔμπροσθεν ἡλικίαις τοῦ περὶ Σάμον πολέμου καὶ τῶν πραγμάτων ἐκείνων. Τὸν δ' Ἀρτέμωνά φησι τρυφερόν τινα τῷ βίῳ καὶ πρὸς τοὺς φόβους μαλακὸν ὄντα καὶ καταπλῆγα τὰ πολλὰ μὲν οἴκοι καθέζεσθαι χαλκῆν ἀσπίδα τῆς κεφαλῆς αὐτοῦ δυεῖν οἰκετῶν ὑπερεχόντων, ὥστε μηδὲν ἐμπεσεῖν τῶν ἄνωθεν· εἰ δὲ βιασθείη προελθεῖν, ἐν κλινιδίῳ κρεμαστῷ παρὰ τὴν γῆν αὐτὴν περιφερόμενον κομίζεσθαι καὶ διὰ τοῦτο κληθῆναι Περιφόρητον.

Idem ib. c. 35, 6 : Pericles cum classe in Peloponnesum missus quum male res gessisset, accusatus est et pecunia mulctatus : ἐπεγράφη δὲ τῇ δίκῃ κατήγορος, ὡς μὲν Ἰδομενεὺς λέγει, Κλέων· ὡς δὲ Θεόφραστος, Σιμμίας· ὁ δὲ Ποντικὸς Ἡρακλείδης Λακρατίδαν εἴρηκε.

(1) Plutarch. Camill. 22, 2 de Roma urbe a Gallis capta : Τοῦ μέντοι πάθους αὐτοῦ καὶ τῆς ἁλώσεως ἔοικεν ἀμυδρά τις εὐθὺς εἰς τὴν Ἑλλάδα φήμη διελθεῖν. Ἡρακλείδης γὰρ ὁ Ποντικὸς οὐ πολὺ τῶν χρόνων ἐκείνων ἀπολειπόμενος ἐν τῷ Περὶ ψυχῆς συγγράμματί φησιν ἀπὸ τῆς ἑσπέρας λόγον κατασχεῖν, ὡς στρατὸς ἐξ Ὑπερβορέων ἐλθὼν ἔξωθεν ᾑρήκοι πόλιν Ἑλληνίδα Ῥώμην ἐκεῖ που κατῳκημένην περὶ τὴν μεγάλην θάλασσαν. Οὐκ ἂν οὖν θαυμάσαιμι μυθώδη καὶ πλασματίαν ὄντα τὸν Ἡρακλείδην ἀληθεῖ λόγῳ τῷ περὶ τῆς ἁλώσεως ἐπικομπάσαι τοὺς Ὑπερβορέους καὶ τὴν μεγάλην θάλατταν. Cf. Cic. De nat. deor. I, 13 : *Ex eadem Platonis schola Ponticus Heraclides puerilibus fabulis refersit libros.*

Ex libro de Homero Plutarchus petiisse videtur quæ leguntur in Vit. Alexandri c. 26 : Εἰ δ', ὅπερ Ἀλεξανδρεῖς λέγουσιν, Ἡρακλείδῃ πιστεύοντες, ἀληθές ἐστιν, οὔκουν οὐκ ἀργός, οὐδ' ἀσύμβολος αὐτῷ συστρατεύειν ἔοικεν Ὅμηρος. Λέγουσι γάρ, ὅτι, τῆς Αἰγύπτου κρατήσας, ἐβούλετο πόλιν μεγάλην καὶ πολυάνθρωπον Ἑλληνίδα συνοικίσας, ἐπώνυμον ἑαυτοῦ καταλιπεῖν· καί τινα τόπον γνώμῃ τῶν ἀρχιτεκτόνων ὅσον οὐδέπω διεμετρεῖτο καὶ περιέβαλλεν. Εἶτα νύκτωρ κοιμώμενος, ὄψιν εἶδε θαυμαστήν· ἀνὴρ πολιὸς εὖ μάλα τὴν κόμην, καὶ γεραρὸς τὸ εἶδος, ἔδοξεν αὐτῷ παραστὰς λέγειν τὰ ἔπη τάδε·

Νῆσος ἔπειτά τις ἐστὶ πολυκλύστῳ ἐνὶ πόντῳ,
Αἰγύπτου προπάροιθε· Φάρον δέ ἑ κικλήσκουσιν.

Εὐθὺς οὖν ἐξαναστὰς ἐβάδιζεν ἐπὶ τὴν Φάρον, ἣ τότε μὲν ἔτι νῆσος ἦν, τοῦ Κανωβικοῦ μικρὸν ἀνωτέρω στόματος, νῦν δὲ διὰ χώματος ἀνείληπται πρὸς τὴν ἤπειρον. Ὡς οὖν εἶδε τόπον εὐφυΐᾳ διαφέροντα, (ταινία γάρ ἐστιν ἰσθμῷ πλάτος ἔχοντι σύμμετρον ἐπιεικῶς διείργουσα λίμνην τε πολλὴν καὶ θάλασσαν ἐν λιμένι μεγάλῳ τελευτῶσαν,) εἰπὼν ὡς Ὅμηρος ἦν ἄρα τά τ' ἄλλα θαυμαστός, καὶ σοφώτατος ἀρχιτέκτων, ἐκέλευσε διαγράψαι τὸ σχῆμα τῆς πόλεως τῷ τόπῳ συναρμόττοντας.

(2) Athenæus XII, p. 523, F : Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν δευτέρῳ Περὶ δικαιοσύνης φησίν· « Ἡ Μιλησίων πόλις περιπέπτωκεν ἀτυχίαις διὰ τρυφὴν βίου καὶ πολιτικὰς ἔχθρας· οἱ τὸ ἐπιεικὲς οὐκ ἀγαπῶντες, ἐκ ῥιζῶν ἀνεῖλον τοὺς ἐχθρούς. Στασιαζόντων γὰρ τῶν τὰς οὐσίας ἐχόντων καὶ τῶν δημοτῶν, οὓς ἐκεῖνοι Γέργιθας ἐκάλουν, πρῶτον μὲν κρατήσας ὁ δῆμος, καὶ τοὺς πλουσίους ἐκβαλὼν, καὶ συναγαγὼν τὰ τέκνα τῶν φυγόντων εἰς ἀλωνίας, βοῦς συναγαγόντες συνηλοίησαν καὶ παρανομωτάτῳ θανάτῳ διέφθειραν. Τοιγάρτοι πάλιν οἱ πλούσιοι κρατήσαντες, ἅπαντας, ὧν κύριοι κατέστησαν, μετὰ τῶν τέκνων κατεπίττωσαν. Ὧν καιομένων φασὶν ἄλλα τε πολλὰ γενέσθαι τέρατα, καὶ ἐλαίαν ἱερὰν αὐτομάτην ἀναφθῆναι. Διόπερ ὁ θεὸς ἐπὶ πολὺν χρόνον ἀπήλαυνεν αὐτοὺς τοῦ μαντείου, καὶ ἐπερωτώντων, διὰ τίνα αἰτίαν ἀπελαύνονται, εἶπε·

Καί μοι Γεργίθων τε φόνος μέλει ἀπτολεμίστων,
πισσήρων τε μόρος, καὶ δένδρεον αἰὲν ἀθαλλές. »

Idem XII, p. 521, E : Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ Περὶ δικαιοσύνης φησί· « Συβαρῖται, τὴν Τήλυος τυραννίδα καταλύσαντες, τοὺς μετασχόντας τῶν πραγμάτων ἀναιροῦντες καὶ φονεύοντες ἐπὶ τῶν βωμῶν ἀπήντησαν. Καὶ ἐπὶ τοῖς φόνοις τούτοις ἀπεστράφη μὲν τὸ τῆς Ἥρας ἄγαλμα, τὸ δὲ ἔδαφος ἀνῆκε πηγὴν αἵματος, ὥστε τὸν σύνεγγυς ἅπαντα τόπον κατεχάλκωσαν θυρίσι, βουλόμενοι στῆσαι τὴν τοῦ αἵματος ἀναφοράν. Διόπερ ἀνάστατοι ἐγένοντο καὶ διεφθάρησαν ἅπαντες, οἱ καὶ τὸν τῶν Ὀλυμπίων τὸν πάνυ ἀγῶνα ἀμαυρῶσαι ἐθελήσαντες. Καθ' ὃν γὰρ ἄγεται καιρὸν ἐπιτηρήσαντες, ἄθλων ὑπερβολῇ ὡς αὐτοὺς καλεῖν ἐπεχείρουν τοὺς ἀθλητάς. »

(1) Athenæus XII, p. 536, F : Περὶ δὲ Καλλίου καὶ τῶν τούτου κολάκων φθάνομεν καὶ πρότερον εἰπόντες· ἀλλ' ἐπεὶ καινῶς Ἡρακλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς ἱστορεῖ περὶ αὐτοῦ, ἄνωθεν ἀναλαβὼν διηγήσομαι. « Ὅτε τὸ πρῶτον εἰς Εὔβοιαν ἐστράτευσαν οἱ Πέρσαι, τότε, ὥς φασιν, Ἐρετριεὺς ἀνὴρ Διόμνηστος κύριος ἐγένετο τῶν τοῦ στρατηγοῦ χρημάτων. Ἔτυχε γὰρ ἐν τῷ ἀγρῷ τῷ ἐκείνου σκηνῶν, καὶ τὰ χρήματα εἰς οἴκημά τι θέμενος τῆς οἰκίας. Τελευτησάντων δὲ πάντων, διέλαθεν ἔχων ὁ Διόμνηστος τὸ χρυσίον. Ἐπεὶ δὲ πάλιν ὁ τῶν Περσῶν βασιλεὺς ἀπέστειλεν εἰς τὴν Ἐρέτριαν στράτευμα, προστάξας ἀνάστατον ποιῆσαι τὴν πόλιν, εἰκότως ὑπεξέθεντο ὅσοι χρημάτων ηὐπόρουν. Οἱ οὖν καταλελειμμένοι τῆς τοῦ Διομνήστου οἰκίας παρ' Ἱππόνικον τὸν Καλλίου, τὸν Ἄμμωνα ἐπικαλούμενον, ὑπεξέθεντο τὰ χρήματα εἰς τὰς Ἀθήνας· καὶ ἀνασκευασθέντων ὑπὸ τῶν Περσῶν ἁπάντων τῶν Ἐρετριέων κατέσχον οὗτοι τὰ χρήματα πολλὰ ὄντα. Ὥστε Ἱππόνικος, ὁ ἀπ' ἐκείνου γεγονὼς τοῦ τὴν παρακαταθήκην λαβόντος, ᾔτησεν Ἀθηναίους ποτὲ ἐν ἀκροπόλει τόπον, ἵν' οἰκοδομήσηται τοῖς χρήμασιν ὅπου κείσεται, λέγων ὡς οὐκ ἀσφαλὲς ὄν, ἐν ἰδιωτικῇ οἰκίᾳ πολλὰ χρήματα εἶναι· καὶ ἔδοσαν Ἀθηναῖοι. Νουθετηθεὶς δ' ὑπὸ τῶν φίλων, μετενόησε. Τούτων οὖν τῶν χρημάτων Καλλίας κύριος γενόμενος, καὶ πρὸς ἡδονὴν βιώσας· — ποῖοι γὰρ οὐ κόλακες ἢ τί πλῆθος οὐχ ἑταίρων περὶ αὐτὸν ἦσαν; ποίας δὲ δαπάνας οὐχ ὑπερεώρα ἐκεῖνος; ἀλλ' ὅμως εἰς τοσοῦτον αὐτὸν περιέστησεν ὁ περὶ ἡδονὴν βίος, ὥστε μετὰ γραϊδίου βαρβάρου διατελεῖν ἠναγκάσθη, καὶ τῶν ἀναγκαίων τῶν καθ' ἡμέραν ἐνδεὴς γενόμενος, τὸν βίον ἐτελεύτησε. Τὸν δὲ Νικίου φησὶ τοῦ Περγασῆθεν πλοῦτον ἢ τὸν Ἰσχομάχου τίνες ἀπώλεσαν; Οὐκ Αὐτοκλέης καὶ Ἐπικλέης, οἱ μετ' ἀλλήλων ζῆν προελόμενοι καὶ πάντ' ἐν ἐλάττονι ποιούμενοι τῆς ἡδονῆς; Ἐπειδὴ δὲ πάντα κατανάλωσαν, κώνειον πιόντες ἅμα τὸν βίον ἐτελεύτησαν. »

Idem XII, p. 525, F : Ἡρακλείδης δ' ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς Σαμίους φησί, καθ' ὑπερβολὴν τρυφήσαντας, διὰ τὴν πρὸς ἀλλήλους μικρολογίαν, ὥσπερ Συβαρίτας, τὴν πόλιν ἀπολέσαι.

Idem XII, p. 533, C : Περικλέα δὲ τὸν Ὀλύμπιόν φησιν Ἡρα-

lustratos fuisse libros Περὶ σωφροσύνης, Περὶ εὐσεβείας, Περὶ ἀνδρείας, Περὶ ἀρετῆς, Περὶ εὐδαιμονίας, Περὶ τῆς ἀρχῆς, Περὶ νόμων (*) καὶ τῶν συγγενῶν τούτοις (Diog. L. l. l.). Quorum in postremis fieri omnino non potuit quin de Solone sermo institueretur. Vellem tamen paullo accuratius indicasset Diogenes quænam fuerint τὰ συγγενῆ τούτοις. Fieri enim potuit, quod Kœlerus suspicatur, quamquam parum probabile Welckero esse videtur, ut Diogenes, quæ est ejus hominis negligentia, Πολιτειῶν opus, quod nunc nonnisi ex excerptorum titulo novimus, iis comprehenderit.

Primus excerpta ista una cum Æliani Varia historia edidit Camillus Peruscus, Romæ 1545, 4 hocce titulo : Ἐκ τῶν Ἡρακλείδου περὶ πολιτειῶν ὑπόμνημα, *Ex Heraclide de rebus publicis commentarium* (V. Fabricius B. Gr. V, p. 615; Freitag. Adpar. litterar. I, 217.

κλείδης ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς, ὡς ἀπήλλαξεν ἐκ τῆς οἰκίας τὴν γυναῖκα, καὶ τὸν μεθ' ἡδονῆς βίον προείλετο, ᾤκει τε μετὰ Ἀσπασίας, τῆς ἐκ Μεγάρων ἑταίρας, καὶ τὸ πολὺ μέρος τῆς οὐσίας εἰς ταύτην κατανάλωσε. Θεμιστοκλῆς δ', οὔπω Ἀθηναίων μεθυσκομένων οὐδ' ἑταίραις χρωμένων, ἐκφανῶς τέθριππον ζεύξας ἑταιρίδων διὰ τοῦ Κεραμεικοῦ πληθύοντος ἑωθινὸς ἤλασεν.

Idem XII, p. 552, F : Ἡρακλείδης δὲ ὁ Ποντικὸς ἐν τῷ Περὶ ἡδονῆς Δεινίαν φησὶ τὸν μυροπώλην, διὰ τρυφὴν εἰς ἔρωτα ἐμπεσόντα, καὶ πολλὰ χρήματα ἀναλώσαντα, ὡς ἔξω τῶν ἐπιθυμιῶν ἐγένετο, ὑπὸ λύπης ἐκταραχθέντα ἐκτέμνειν αὑτοῦ τὰ αἰδοῖα, ταῦτα πάντα ποιούσης τῆς ἀκολάστου τρυφῆς.

Idem XII, p. 554, E : Ἐν μανίᾳ δὲ τρυφὴν ἡδίστην γενομένην οὐκ ἀηδῶς ὁ Ποντικὸς Ἡρακλείδης διηγεῖται, ἐν τῷ Περὶ ἡδονῆς οὕτως γράφων· « Ὁ Αἰξωνεὺς Θρασύλαος, ὁ Πυθοδώρου, διετέθη ποτὲ ὑπὸ μανίας τοιαύτης, ὡς πάντα τὰ πλοῖα τὰ εἰς τὸν Πειραιᾶ καταγόμενα ὑπολαμβάνειν ἑαυτοῦ εἶναι, καὶ ἀπεγράφετο αὐτά, καὶ ἀπέστειλε, καὶ διῴκει, καὶ καταπλέοντα ἀπεδέχετο μετὰ χαρᾶς τοσαύτης, ὅσης περ ἂν τις εἴη τοσούτων χρημάτων κύριος ὤν. Καὶ τῶν μὲν ἀπολομένων, οὐδὲν ἐπεζήτησε, τοῖς δὲ σωζομένοις ἔχαιρε, καὶ διῆγε μετὰ πλείστης ἡδονῆς. Ἐπεὶ δὲ ὁ ἀδελφὸς αὐτοῦ Κρίτων, ἐκ Σικελίας ἐπιδημήσας, συλλαβὼν αὐτὸν παρέδωκεν ἰατρῷ, καὶ τῆς μανίας ἐπαύσατο, διηγεῖτο οὐδεπώποτε φάσκων κατὰ τὸν βίον ἡσθῆναι πλείονα· λύπην μὲν γὰρ οὐδ' ἡντινοῦν αὐτῷ παραγίνεσθαι, τὸ δὲ τῶν ἡδονῶν πλῆθος ὑπερβάλλειν. »

41. Constituti sunt etiam apud Indos advenarum præfecti, qui, ne quid illi injuria patiantur, accurate provident. Si quis illorum ægrotat, medicos adhibent ceteramque curam impendunt, et mortuum sepulturæ tradunt. Quidquid ab eo relictum est peculii, cognatis restituunt. (42) Judices illorum summa diligentia lites disceptant, et severe in noxios animadvertunt. Atque de India rebusque ejus priscis hæc sufficiant.

omnia præcedant, ipsiusque fuisse videatur Megasthenis; quare ad Diodori epitomen fragmentorum seriem accommodabimus. Hoc tantum mireris, qui fiat ut post recensitas tribus, abrupte Diodorus interponat elephantorum descriptionem. Rem docet Strabo, qui de tertia tribu loquens multa de elephantis eorumque venatione exponit. Diodorus, ne interrumperet brevem suam tribuum enumerationem, ea quæ de elephantis notare placuit, ad calcem hujus capitis relegavit.

E LIBRO PRIMO.

2.

Arrianus Exp. Al. V, 6, 2 : Τῆς δὲ ὡς ἐπὶ νότον Ἀσίας τετραχῇ αὖ τεμνομένης μεγίστην μὲν μοῖραν τῶν Ἰνδῶν γῆν ποιεῖ Ἐρατοσθένης τε καὶ Μεγασθένης, ὃς ξυνῆν μὲν Σιβυρτίῳ τῷ σατράπῃ τῆς Ἀραχωσίας· πολλάκις δὲ λέγει ἀφικέσθαι παρὰ Σανδράκοττον τὸν Ἰνδῶν βασιλέα· ἐλαχίστην δὲ ὅσην ὁ Εὐφράτης ποταμὸς ἀπείργει ὡς πρὸς τὴν ἡμετέραν θάλασσαν· δύο δὲ αἱ μεταξὺ Εὐφράτου τε ποταμοῦ καὶ τοῦ Ἰνδοῦ ἀπειργόμεναι, αἱ δύο ξυντεθεῖσαι μόλις ἄξιαι τῇ Ἰνδῶν γῇ ξυμβαλεῖν· ἀπείργεσθαι δὲ τὴν Ἰνδῶν χώραν πρὸς μὲν ἕω τε καὶ ἀπηλιώτην ἄνεμον ἔστε ἐπὶ μεσημβρίαν τῇ μεγάλῃ θαλάσσῃ· τὸ πρὸς βορρᾶν δὲ αὐτῆς ἀπείργειν τὸν Καύκασον τὸ ὄρος ἔστε ἐπὶ τοῦ Ταύρου τὴν ξυμβολήν· τὴν δὲ πρὸς ἑσπέραν τε καὶ ἄνεμον Ἰάπυγα ἔστε ἐπὶ τὴν μεγάλην θάλασσαν, ὁ Ἰνδὸς ποταμὸς ἀποτέμνεται. Καί ἐστι πεδίον ἡ πολλὴ αὐτῆς· καὶ τοῦτο, ὡς εἰκάζουσιν, ἐκ τῶν ποταμῶν προσκεχωσμένον· εἶναι γὰρ οὖν καὶ τῆς ἄλλης χώρας ὅσα πεδία οὐ πρόσω θαλάσσης τὰ πολλὰ τῶν ποταμῶν παρ' ἑκάστοις ποιήματα, ὥστε καὶ τῆς χώρας τὴν ἐπωνυμίαν τοῖς ποταμοῖς ἐκ παλαιοῦ προσκεῖσθαι, καθάπερ Ἕρμου τέ τι πεδίον λέγεσθαι, ὃς κατὰ τὴν Ἀσίαν γῆν ἀνίσχων ἐξ ὄρους Μητρὸς Δινδυμήνης παρὰ πόλιν Σμύρναν Αἰολικὴν ἐκδιδοῖ ἐς θάλασσαν· καὶ ἄλλο Καΰστρου πεδίον Λυδίου ποταμοῦ, καὶ Καΐκου ἄλλο ἐν Μυσίᾳ, καὶ Μαιάνδρου τὸ Καρικὸν ἔστε ἐπὶ Μίλητον πόλιν Ἰωνικήν.... Εἰ δὴ οὖν εἷς τε ποταμὸς παρ' ἑκάστοις, καὶ οὐ μεγάλοι οὗτοι ποταμοί, ἱκανοὶ γῆν πολλὴν ποιῆσαι, ἐς θάλασσαν προχεόμενοι, ὁπότε ἰλὺν καταφέροιεν καὶ πηλὸν ἐκ τῶν ἄνω τόπων, ἔνθενπερ αὐτοῖς αἱ πηγαί εἰσιν, οὐδὲ ὑπὲρ τῆς Ἰνδῶν ἄρα χώρας ἐς ἀπιστίαν ἰέναι ἄξιον, ὅπως πεδίον τε ἡ πολλή ἐστι, καὶ ἐκ τῶν ποταμῶν τὸ πεδίον ἔχει προσκεχωσμένον. Ἕρμον μὲν γὰρ καὶ Καΰστρον καὶ Καΐκόν τε καὶ Μαίανδρον ἢ ὅσοι πολλοὶ ποταμοὶ τῆς Ἀσίας ἐς τήνδε τὴν ἐντὸς θάλασσαν ἐκδιδοῦσιν, οὐδὲ ξύμπαντας ξυντεθέντας ἑνὶ τῶν Ἰνδῶν ποταμῶν ἄξιον ξυμβαλεῖν πλήθους ἕνεκα τοῦ ὕδατος, μὴ ὅτι τῷ Γάγγῃ τῷ μεγίστῳ, ὅτῳ οὔτε Νείλου ὕδωρ τοῦ Αἰγυπτίου οὔτε ὁ Ἴστρος ὁ κατὰ τὴν Εὐρώπην ῥέων ἄξιοι ξυμβαλεῖν· ἀλλ' οὐδὲ τῷ Ἰνδῷ ποταμῷ ἐκεῖνοί γε πάντες ξυμμιχθέντες ἐς ἴσον ἔρχονται· ὃς μέγας τε εὐθὺς ἀπὸ τῶν πηγῶν ἀνίσχει, καὶ πεντεκαίδεκα ποταμοὺς πάντας τῶν Ἀσιανῶν μείζονας παραλαβών, καὶ τῇ ἐπωνυμίᾳ κρατήσας, οὕτως ἐκδιδοῖ ἐς θάλασσαν. Ταῦτά μοι ἐν τῷ παρόντι περὶ Ἰνδῶν τῆς χώρας λελέχθω· τὰ δὲ ἄλλα ἀποκείσθω ἐς τὴν Ἰνδικὴν ξυγγραφήν.

Arrianus in Indicis fines Indiæ describit cap. 2, 1—7, quæ item ex Megasthene petita sunt, sicuti reliqua quæ usque ad cap. 17 leguntur tantum non omnia. — Σανδράκοττον] Varie nomen apud Græcos scriptores exaratur : Σανδράκοττος, Σανδρακόττας, Σανδρόκοττος, Ἀνδρόκοττος, Σανδρά-

---

E LIBRO PRIMO.

2.

Asiæ quæ ad Austrum vergit, quæ et ipsa in quattuor partes scinditur, maximam partem esse statuit Indorum regionem Eratosthenes et Megasthenes : qui quidem quum apud Sibyrtium Arachosiorum satrapam degeret, frequenter se ad Sandracottum Indorum regem commeasse scribit : minimam vero, quam Euphrates intersecat, ad nostrum mare conversam : reliquas duas inter Euphratem et Indum positas, si conjungantur, vix dignas esse quæ Indorum regioni comparentur. Terminari autem Indiam, orientem et subsolanum versus, adusque meridiem, Oceano : a septemtrione vero, Caucaso monte, ad Tauri usque confinia : ab occidente et Iapyge vento, ad Oceanum usque, Indo amne distingui. Magnamque ejus partem planam et campestrem esse. Quæ quidem planities (ut suspicantur) ab ipsis fluminibus terram sua alluvione accumulantibus fit, quemadmodum reliqua campestria loca non procul a mari sita planitiem suam fluminum alluvionibus debent. Adeo ut regionum ipsarum appellationes fluminibus jam olim inditæ sint : quemadmodum Hermi campus dicitur qui amnis in Asia oriens ex monte matris Dindymenes, ad Smyrnam urbem Æolicam mare influit; item Caystri campus Lydius, a Lydio flumine, et Caici alius in Mysia, et Mæandri in Caria Miletum Ionicam urbem usque.... Si igitur singuli amnes, neque ii quidem magni, id præstant ut in mare prolabentes, quum multum luti atque limi secum ex superioribus locis ubi fontes eorum oriuntur trahant, multum terræ sua alluvione regioni addant : certe non video cur non idem de Indorum regione credi possit, quandoquidem magna ex parte campestris est, et fluvii in ejus campos alluvionem faciunt. Hermum enim et Caystrum et Caicum ac Mæandrum reliquosque Asiæ fluvios qui in mare interius feruntur, ne si omnes quidem conjunxeris, digni sint qui uni Indorum flumini aquarum copia conferantur : nedum Gangi maximo, cui neque Nili Ægyptii fluenta, neque Ister per Europam fluens comparari possunt. Sed ne ii quidem omnes si simul misceantur, Indum æquant, qui magnus statim ab ipsis fontibus erumpens, et quindecim ex majoribus Asiæ fluminibus in se receptis, nomen suum perpetuo retinens in mare contendit. Atque hoc quidem in præsentia de Indorum regione dixisse sufficiat. Reliqua in historiam Indicam rejiciantur.

κοπτος, Σανδράκυπτος. Postrema forma accuratissime respondet nomini Indico : *Chandraguptas* (*quem luna tuetur*). Vide Ellendt. ad Arr. l. l.; Schlegel. *Ind. Bibl.* tom. I, p. 245; Bohlen. *Alt. Indien* I, p. 91; Lassenius *De pentapot. Ind.* p. 42. 61. — De fluviis plura leges infra. Ad verba πεντεκαίδεκα ποταμοὺς cf. Strabo XV, p. 708 : Πεντεκαίδεκα δὲ τοὺς σύμπαντάς φασι συρρεῖν (εἰς τὸν Ἰνδὸν) τούς γε ἀξιολόγους.

3.

Strabo XV, p. 689 : Τὴν Ἰνδικὴν περιώρικεν ἀπὸ μὲν τῶν ἄρκτων τοῦ Ταύρου τὰ ἔσχατα· ἀπὸ δὲ τῆς Ἀριανῆς μέχρι τῆς ἑῴας θαλάττης, ἅπερ οἱ ἐπιχώριοι κατὰ μέρος Παροπάμισόν τε καὶ Ἠμωδὸν καὶ Ἴμαον καὶ ἄλλα ὀνομάζουσι, Μακεδόνες δὲ Καύκασον· ἀπὸ τῆς ἑσπέρας ὁ Ἰνδὸς ποταμός· τὸ δὲ νότιον καὶ τὸ προσεῷον πλευρὸν πολὺ μείζω τῶν ἑτέρων ὄντα προπέπτωκεν εἰς τὸ Ἀτλαντικὸν πέλαγος, καὶ γίνεται ῥομβοειδὲς τὸ τῆς χώρας σχῆμα, τῶν μειζόνων πλευρῶν ἑκατέρου πλεονεκτοῦντος παρὰ τὸ ἀπεναντίον πλευρὸν τρισχιλίοις σταδίοις, ὅσον ἐστὶ τὸ κοινὸν ἄκρον τῆς τε ἑωθινῆς παραλίας καὶ τῆς μεσημβρινῆς, ἔξω προπεπτωκὸς ἐξ ἴσης ἐφ' ἑκάτερον παρὰ τὴν ἄλλην ἠϊόνα. Τῆς μὲν οὖν ἑσπερίου πλευρᾶς ἀπὸ τῶν Καυκασίων ὀρῶν ἐπὶ τὴν νότιον θάλατταν στάδιοι μάλιστα λέγονται μύριοι τρισχίλιοι παρὰ τὸν Ἰνδὸν ποταμὸν μέχρι τῶν ἐκβολῶν αὐτοῦ· ὥστ' ἀπεναντίον ἡ ἑωθινὴ προσλαβοῦσα τοὺς τῆς ἄκρας τρισχιλίους ἔσται μυρίων καὶ ἑξακισχιλίων σταδίων. Τοῦτο μὲν οὖν πλάτος τῆς χώρας τό τ' ἐλάχιστον, καὶ τὸ μέγιστον. Μῆκος δὲ τὸ ἀπὸ τῆς ἑσπέρας ἐπὶ τὴν ἕω· τούτου δὲ τὸ μὲν μέχρι Παλιβόθρων ἔχοι τις ἂν βεβαιοτέρως εἰπεῖν· καταμεμέτρηται γὰρ σχοινίοις (σχοίνοισι Arrian.), καὶ ἔστιν ὁδὸς βασιλικὴ σταδίων μυρίων (codd. δισμυρίων)· τὰ δ' ἐπέκεινα στοχασμῷ λαμβάνεται διὰ τῶν ἀνάπλων τῶν ἐκ θαλάττης διὰ τοῦ Γάγγου ποταμοῦ μέχρι Παλιβόθρων· εἴη δ' ἂν σταδίων ἑξακισχιλίων. Ἔσται δὲ τὸ πᾶν, ᾗ βραχύτατον, μυρίων ἑξακισχιλίων, ὥς ἔκ τε τῆς ἀναγραφῆς τῶν σταθμῶν τῆς πεπιστευμένης μάλιστα λαβεῖν Ἐρατοσθένης φησί· καὶ ὁ Μ ε γ α σ θ έ ν η ς οὕτω συναποφαίνεται· Πατροκλῆς δὲ χιλίοις ἔλαττόν φησι... Ἐκ δὲ τούτων πάρεστιν ὁρᾶν, ὅσον διαφέρουσιν αἱ τῶν ἄλλων ἀποφάσεις, Κτησίου μὲν οὐκ ἐλάττω τῆς ἄλλης Ἀσίας τὴν Ἰνδικὴν λέγοντος, Ὀνησικρίτου δὲ τρίτον μέρος τῆς οἰκουμένης, Νεάρχου δὲ μηνῶν ὁδὸν τεττάρων τὴν δι' αὐτοῦ τοῦ πεδίου, Μεγασθένους δὲ καὶ Δηϊμάχου μετριασάντων μᾶλλον· ὑπὲρ γὰρ δισμυρίους τιθέασι σταδίους, τὸ ἀπὸ τῆς νοτίου θαλάττης ἐπὶ τὸν Καύκασον. Eundem hunc Eratosthenis locum exscripsit Arrianus Ind. 6, 1—5, quibus ex Megasthene subjicit quæ leguntur fragm. 6. — σχοινίοις] « In omnibus Strabonis codd. legitur σχοινίοις, et apud Arrianum in omnibus σχοίνοις. Quamvis nihil in utraque lectione possit reprehendi, tamen vocem σχοίνοις mutare facilius erat, quam immutare σχοινίοις; Straboni enim mirum videri poterat, schœni mensuram qua Græci uti assueverant, in India adhiberi. Convenit autem schœnus, qui Eratostheni est mensura quadraginta stadiorum (Plinius H. N. XII, 30), accurate cum Indica *jog'anæ* mensura, quæ quattuor *cróças* continet. Duplicem vulgo longitudinem jôganæ attribui non ignoro, sed etiam minorem quum ipsi Indi agnoscunt (cf. *As. Res.* V, 105), tum Sinenses peregrinatores (cf. *Foe-koue-ki* 87-88) et ipse Megasthenes hoc loco Strabonis (p. 708): οἱ ἀγορανόμοι ὁδοποιοῦσι καὶ κ α τ ὰ δ έ κ α σ τ ά δ ι α στήλην τιθέασι τὰς ἐκτροπὰς καὶ τὰ διαστήματα δηλοῦσαν. Quo ex loco hoc certe apparet, decem stadia aliquam Indicam mensuram æquare, quæ alia atque minor illâ *croça* esse non potest. » *Schwanbeck*. p. 27.

4.

Strabo II, p. 79 fin. : Φησὶν ὁ Ἵππαρχος ἐν τῷ

3.

Indiam a septemtrione Tauri extrema terminant; ab Ariana usque in orientale mare montes, quos indigenæ singulatim Paropamisi, Emodi, Imai et aliis nominibus appellant, Macedones vero Caucasum vocant; ab occidente Indus fluvius; australe et orientale latus, quæ sunt reliquis longe majora, in Atlanticum pelagus procurrunt : unde regio rhombi similem figuram præbet; nam utrumvis majorum laterum contrarium sibi latus tribus millibus stadiorum exsuperat, quanta est communis orientalis et meridionalis partis extremitas quæ in utrumque æqualiter excurrit. Occidentalis lateris a Caucasiis montibus ad australe mare tredecim millia stadiorum perhibentur secundum Indum flumen usque ad ejus ostia. Quapropter oppositum orientale latus, assumptis extremitatis tribus millibus erit stadiorum sedecim millium. Atque hæc est maxima et minima regionis latitudo. Longitudo vero est ab occidente in orientem, quæ quanta sit de ea parte quæ usque ad Palibothra pertendit, certius dici potest : schœnis enim dimensa est et viam regiam habet stadiorum decem millium. Ulteriora vero conjectura deprehenduntur per navigationes, quæ ex mari fiunt adverso Gange Palibothra usque, et sunt stadiorum circiter sex millia. Universa igitur longitudo, ubi minima, est stadiorum sedecim millium, ut ex mansionum recensione fide dignissima recepisse se Eratosthenes dicit. Eodem modo etiam Megasthenes mensuras tradit; Patrocles vero mille stadia detrahit... Hic perspici potest quantum reliquorum sententiæ discrepent; nam Ctesias dicit Indiam non esse minorem reliqua Asia, Onesicritus eam esse trientem orbis habitati, Nearchus quattuor mensium iter esse per ipsum campum, Megasthenes vero et Deimachus moderatius agunt. Nam supra viginti millia stadia eam partem ponunt quæ ab australi mari patet in Caucasum.

4.

Addit Hipparchus libro secundo, ipsum Eratosthenem fidem Patrocli derogare, quod is a Megasthene dissenserit

δευτέρῳ Ὑπομνήματι αὐτὸν τὸν Ἐρατοσθένη διαβάλλειν τὴν τοῦ Πατροκλέους πίστιν ἐκ τῆς πρὸς Μεγασθένη διαφωνίας περὶ τοῦ μήκους τῆς Ἰνδικῆς τοῦ κατὰ τὸ βόρειον πλευρὸν, τοῦ μὲν Μεγασθένους λέγοντος σταδίων μυρίων ἑξακισχιλίων, τοῦ δὲ Πατροκλέους χιλίοις λείπειν φαμένου.

5.

Strabo II, p. 69 init. : Patrocli fidem non habendam esse Hipparchus dicit, δυοῖν ἀντιμαρτυρούντων αὐτῷ Δηιμάχου τε καὶ Μεγασθένους, οἳ καθ' οὓς μὲν τόπους δισμυρίων τὸ διάστημά φασι τὸ ἀπὸ τῆς κατὰ μεσημβρίαν θαλάττης, καθ' οὓς δὲ καὶ τρισμυρίων. Τούτους γε δὴ τοιαῦτα λέγειν καὶ τοὺς ἀρχαίους πίνακας τούτοις ὁμολογεῖν.

Δισμυρίων] 12000 stadia exputaverat Patrocles, cujus sententiam Eratosthenes adoptavit.

Eadem iterum tangit Strabo p. 72 :... τοῖς τρισμυρίοις, οἷς φησὶν ὁ Δηίμαχος μέχρι τῆς εἰς Βακτρίους καὶ Σογδιανοὺς ὑπερθέσεως, κτλ. Idem p. 74 : Οἱ δέ γε περὶ Δηίμαχον τοῖς τρισμυρίοις ἐὰν προσλάβωσι τὸ ἐπὶ τὴν Ταπροβάνην καὶ τοὺς ὅρους τῆς διακεκαυμένης, οὓς οὐκ ἐλάττους τῶν τετρακισχιλίων θετέον, ἐκτοπιοῦσι τά τε Βάκτρα καὶ τὴν Ἀρίαν εἰς τοὺς ἀπέχοντας τόπους τῆς διακεκαυμένης σταδίους τρισμυρίους καὶ τετρακισχιλίους, ὅσους ἀπὸ τοῦ ἰσημερινοῦ ἐπὶ Βορυσθένη φησὶν εἶναι ὁ Ἵππαρχος. Cf. etiam p. 75 extr.

6.

Arrian. Ind. 3, 7 : Μεγασθένει δὲ τὸ ἀπὸ ἀνατολέων ἐς ἑσπέρην πλάτος ἐστὶ τῆς Ἰνδῶν γῆς, ὅ τι περ οἱ ἄλλοι μῆκος ποιέουσι· καὶ λέγει Μεγασθένης, μυρίων καὶ ἑξακισχιλίων σταδίων εἶναι, ἵναπερ τὸ βραχύτατον αὐτοῦ. Τὸ δὲ ἀπὸ ἄρκτου πρὸς μεσημβρίην, τοῦτο δὲ αὐτῷ μῆκος γίνεται, καὶ ἐπέχει τριηκοσίους καὶ δισχιλίους, ἵναπερ τὸ στεινότατον αὐτοῦ. Cf. Onesicrit fr. 11.

Diodorus in fr. 1 § 2 Indiæ magnitudinem ita definit, ut latitudinem non 16000, sed 28000; longitudinem non 20000, sed 32000 stadiorum esse dicat. Sed bene tenendum est Arrianum suis numeris addere : ἵναπερ τὸ βραχύτατον, ἵναπερ τὸ στεινότατον. Diodorus igitur enotaverit numeros maximos, nisi forte ex Daimacho quædam narrationi suæ admiscuit : is enim 30000 longitudinis stadia attulit. Schwanbeck. majores numeros ita ortos putat, ut in latitudine comprehensa sint Cabuliæ et Arianæ partes, quam Seleuco Sandracottus ademit; in 32000 stadiis longitudinis complexus auctor sit finitimas ad septemtrionem gentes, v. c. Uttaracuras.

Ceterum latitudinem Megasthenes pro sui computi ratione satis bene constituit; nam quod spatium stadiorum 16000 esse dicit, revera est circiter 13700 stadiorum. Quæ vero dicit 22300 stadia, linea recta nonnisi 16300, vel si Taprobanen ins. addis, 17500 stadia efficiunt. Aliorum auctorum mensuras ex variis auctoribus affert Plinius H. N. VI, § 21, 2, ubi etiam hæc : *Complures autem totam ipsius longitudinem XL dierum noctiumque velifico navium cursu determinavere : et a septemtrione ad meridiem vicies etocties centena quinquaginta M. passuum (esse tradunt).* 2850,000 passus æquant 22800 stadia; qui numerus proxime ad eum, quem Arrianus tradit, accedit. Idem Plinius l. l. 21,8 dicit a Palibothris oppido ad ostium Gangis esse DCXXXVIII millia passuum. Quo loco Schwanbeckius p. 17 scribendum esse probabiliter admodum statuit : DCCXXXVIII, i. e. 6000 stadia, quot eidem spatio tribuit Megasthenes. Alia plurima in eodem capite ex Megasthene fluxerint.

7.

Strabo II, p. 76 : Eratosthenes perstringit Daimachum, qui oblocutus erat Μεγασθένει φήσαντι ἐν τοῖς νοτίοις μέρεσι τῆς Ἰνδικῆς τάς τε ἄρκτους ἀποκρύπτεσθαι καὶ τὰς σκιὰς ἀντιπίπτειν. Vide fragm. 2 Daimachi; Nearchi fr. 2. Cf. Megasthenis Epit. fr. 1 § 2.

Strabo II, p. 77 :. Δηιμάχου φήσαντος μηδαμοῦ τῆς Ἰνδικῆς μήτ' ἀποκρύπτεσθαι τὰς ἄρκτους μήτ' ἀντιπίπτειν τὰς σκιὰς ὅπερ ὑπείληφεν ὁ Μεγασθένης.

8.

Plinius H. N. VII, 22, 6, p. 360 Tchn. : *Ab iis*

---

in longitudine lateris Indiæ septemtrionalis annotanda, quod, quam Megasthenes sedecim millibus stadiorum definit, Patrocles mille stadia ei summæ detrahit.

5.

Patroclem Hipparchus dicit fidem non mereri, contra quem duo sint testimonium ferentes Deimachus et Megasthenes, qui intervallum a mari meridionali vicies, aliquibus locis etiam tricies mille stadiorum affirment esse; et cum his consentire etiam veteres tabulas.

6.

Megasthenes ab oriente in occidentem latitudinem Indiæ esse vult, quam alii longitudinem faciunt, eamque Megasthenes auctor est, ubi brevissimum ejus spatium sit, sedecim millia stadiorum continere. A septemtrione autem versus meridiem, ea illi quidem est longitudo, et extenditur ad viginti tuo millia et trecenta stadia, ubi angustissima est.

7.

Daimachus reprehendit Megasthenem, quod in austrinis Indiæ partibus ursas occidere et umbras diversam in partem cadere dixisset.

(sc. a Prasiis sive Palibothris) *in interiore situ Monedes et Suari, quorum mons Maleus, in quo umbræ ad septemtrionem cadunt hieme, æstate in austrum, per senos menses. Septemtriones eo tractu semel in anno apparere, nec nisi quindecim diebus, Bœton* (fr. 4) *auctor est : hoc idem pluribus locis Indiæ fieri, Megasthenes.* Eadem e Plinio Solinus c. 52, non nominato tamen Megasthene. Conferri Schwanbeckius p. 29 jubet Lassen. Institut. linguæ pracriticæ, Append. p. 2.

Ceterum longe plurima quæ Plinius VI, 21, 8 — 23, 11 de gentibus, terris fluminibusque interioris Indiæ recenset, e Megasthene fluxisse probabilis Schwanbeckii conjectura est, quamquam pluribus auctoribus usum esse patet e verbis : *plerique adjiciunt* (21, 8); *alii... alii* 22, 1 ; *Artemidorus* (22, 6). Fortasse Plinius ne inspexit quidem ipsum Megasthenem, sed plurima sua dedit e Senecæ libro De India, qui quum sexaginta Indiæ fluvios, gentes centum et duodeviginti enumerasse a Plinio VI, 21, 5 dicatur, procul dubio exscripserat Megasthenem, quem totidem fluvios totidemque gentes recensuisse compertum habemus.

9.

Strabo XV, p. 693 : Μεγασθένης δὲ τὴν εὐδαιμονίαν τῆς Ἰνδικῆς ἐπισημαίνεται τῷ δίκαρπον εἶναι καὶ δίφορον, καθάπερ καὶ Ἐρατοσθένης ἔφη, τὸν μὲν εἰπὼν σπόρον χειμερινὸν, τὸν δὲ θερινὸν, καὶ ὄμβρον ὁμοίως· οὐδὲν γὰρ ἔτος εὑρίσκεσθαί φησι πρὸς ἀμφοτέρους καιροὺς ἄνομβρον· ὥστε εὐετηρίαν ἐκ τούτου συμβαίνειν, ἀφόρου μηδέποτε τῆς γῆς οὔσης· τούς τε ξυλίνους καρποὺς γεννᾶσθαι πολλοὺς, καὶ τὰς ῥίζας τῶν φυτῶν, καὶ μάλιστα τῶν μεγάλων καλάμων, γλυκείας καὶ φύσει καὶ ἑψήσει, χλιαινομένου τοῦ ὕδατος τοῖς ἡλίοις, τοῦ τ' ἐκπίπτοντος ἐκ Διὸς, καὶ τοῦ ποταμίου. Τρόπον δή τινα λέγειν βούλεται, διότι ἡ παρὰ τοῖς ἄλλοις λεγομένη πέψις καὶ καρπῶν καὶ χυμῶν παρ' ἐκείνοις ἕψησίς ἐστι· καὶ κατεργάζεται τοσοῦτον εἰς εὐστομίαν, ὅσον καὶ ἡ διὰ πυρός· διὸ καὶ τοὺς κλάδους φησὶν εὐκαμπεῖς εἶναι τῶν δένδρων, ἐξ ὧν οἱ τροχοί· ἐκ δὲ τῆς αὐτῆς αἰτίας ἐνίοις καὶ ἐπανθεῖν ἔριον.

Cf. fr. 1, 3. Strabo p. 690. Nearch. fr. 8.

10.

Strabo XV, p. 703 : Καὶ τίγρεις δ' ἐν τοῖς Πρασίοις φησὶν ὁ Μεγασθένης γίνεσθαι μεγίστους, σχεδὸν δέ τι καὶ διπλασίους λεόντων· δυνατοὺς δὲ ὥστε τῶν ἡμέρων τινὰ, ἀγόμενον ὑπὸ τεττάρων, τῷ ὀπισθίῳ σκέλει δραξάμενον ἡμιόνου, βιάσασθαι καὶ ἑλκύσαι πρὸς ἑαυτόν. Κερκοπιθήκους δὲ μείζους τῶν μεγίστων κυνῶν, λευκοὺς πλὴν τοῦ προσώπου· τοῦτο δ' εἶναι μέλαν· παρ' ἄλλοις δ' ἀνάπαλιν· τὰς δὲ κέρκους μείζους δυοῖν πήχεων· ἡμερωτάτους δὲ καὶ οὐ κακοήθεις περὶ ἐπιθέσεις καὶ κλοπάς. Λίθους δ' ὀρύττεσθαι λιβανόχρους, γλυκυτέρους σύκων ἢ μέλιτος. Ἀλλαχοῦ δὲ διπήχεις ὄφεις ὑμενοπτέρους ὥσπερ αἱ νυκτερίδες, καὶ τούτους δὲ νύκτωρ πέτεσθαι, σταλαγμοὺς ἀφιέντας οὔρων, τοὺς δὲ ἱδρώτων, διασήποντας τὸν χρῶτα τοῦ μὴ φυλαξαμένου· καὶ σκορπίους εἶναι πτηνοὺς, ὑπερβάλλοντας μεγέθεσι (cf. fr. 11)· φύεσθαι δὲ καὶ ἔβενον· εἶναι δὲ καὶ κύνας ἀλκίμους, οὐ πρότερον μεθιέντας τὸ δηχθὲν πρὶν εἰς τοὺς ῥώθωνας ὕδωρ καταχυθῆναι· ἐνίοις δ' ὑπὸ προθυμίας ἐν τῷ δήγματι διαστρέφεσθαι τοὺς ὀφθαλμοὺς, τοῖς δὲ καὶ ἐκπίπτειν· κατασχεθῆναι δὲ καὶ λέοντα ὑπὸ κυνὸς καὶ ταῦρον· τὸν δὲ ταῦρον καὶ ἀποθανεῖν κρατούμενον τοῦ ῥύγχους πρότερον ἢ ἀφεθῆναι.

11.

Ælian. N A. XVII, 39 : Ἐν τῇ Πραξιακῇ χώρᾳ, Ἰνδῶν δὲ αὕτη ἐστίν, Μεγασθένης φησὶ πιθήκους εἶναι τῶν μεγίστων κυνῶν οὐ μείους, ἔχειν δὲ καὶ οὐρὰς πη-

---

9.

Megasthenes Indiæ fœcunditatem ex eo maxime declarat, quod ea bis fructum ferat quoque anno, sicuti etiam Eratosthenes dicit, alteram hibernam sementem, alteram æstivam nominans, sicuti imbrem quoque. Nullum enim annum inveniri dicit utroque tempore sine pluvia, quapropter magnam esse ubertatem, quum semper terra sit fœcunda. Fructus autem arboreos multos gigni, radices stirpium, præsertim magnarum arundinum, et natura et decoctione dulces esse, aqua sole tepefacta tam cœlesti quam pluviali. Quodammodo igitur id videtur dicere, eam, quæ apud alios fructuum et succorum maturitas dicitur, apud illos concoctionem esse, quæ tantum ad suavitatem saporis conducat, quantum ea quæ per ignem fit. Idcirca etiam ramos arborum flexiles esse dicit, e quibus rotæ fiant; ob eandemque causam in quibusdam lanam innasci.

10.

Megasthenes auctor est tigres apud Prasios gigni magnitudine duplos fere ad leonem, adeo robustos, ut unus e mansuetis, a quattuor hominibus ductus, mulum posteriore pede apprehenderit atque ad se pertraxerit. Cercopithecos vero maximis canibus majores, et totos albos præter faciem, quæ nigra est, etsi apud nonnullos contrarium sit; caudæ longitudinem duos cubitos superare; ceterum mansuetissimos esse, neque maligne insidiari aut furari. Lapides quoque effodi tureo colore, ficu et melle dulciores. Quibusdam in locis serpentes esse binorum cubitorum, membraneis alis, ut vespertiliones : eos per noctem volare; et lotii aut sudoris stillas dimittere, quæ non caventium eas corpora computrescere cogant. Item scorpios volucres ingentes. Nasci quoque ebenum. Canes etiam esse validissimos, qui quod mordicus corripuerint, non ante dimittant quam aqua naribus infundatur : nonnullis præ vehementia in morsu oculos distorqueri, quibusdam etiam excidere : leonem et taurum a cane detineri : taurum rostro prehensum ab iis necari potius quam dimitti.

11.

In Prasiana Indorum regione Megasthenes simias scribit

χῶν πέντε· προσπεφυκέναι δὲ ἄρα αὐτοῖς καὶ προκόμια, καὶ πώγωνας καθειμένους καὶ βαθεῖς· καὶ τὸ μὲν πρόσωπον εἶναι πᾶν λευκούς, τὸ σῶμα δὲ μέλανας ἰδεῖν, ἡμέρους δὲ καὶ φιλανθρωποτάτους, καὶ τὸ τοῖς ἀλλαχόθι πιθήκοις συμφυὲς οὐκ ἔχειν τὸ κακόηθες.

τὸ σῶμα δὲ] « Quum in Strabone (fr. 10) sit corpus totum album præter faciem, in Æliano contra nigrum, bene animadvertendum est, id, quod Ælianus male omisit, additum a Megasthene, παρ' ἄλλοις δ' ἀνάπαλιν, in aliis ejusdem generis coloris distinctionem corporis et faciei contrariam esse. » SCHNEIDER. Ceterum cf. Ctesiæ fr. 61.

Ex eodem Megasthene fluxisse putanda sunt quæ narrat Ælianus XVI, 10, de simiis Indicis in *Prasiorum regione:* Ἐν Πρασίοις δὲ τοῖς Ἰνδικοῖς εἶναι γένος πιθήκων φασὶν ἀνθρωπόνουν, καὶ ἰδεῖν δέ εἰσι κατὰ τοὺς Ὑρκανοὺς κύνας τὸ μέγεθος· προκομία τε αὐτῶν ὁρᾶται συμφυής, εἴποι δ' ἂν ὁ μὴ τὸ ἀληθὲς εἰδὼς ἀσκητὰς εἶναι αὐτάς· γένειον δὲ αὐτοῖς ὑποπέφυκε σατυρῶδες, ἡ δὲ οὐρὰ κατὰ τὴν τῶν λεόντων ἀλκαίαν ἐστί· καὶ τὸ μὲν ἄλλο πᾶν σῶμα πεφύκασι λευκοί, τὴν δὲ κεφαλὴν καὶ τὴν οὐρὰν ἄκραν εἰσὶ πυρσοί· σώφρονες δὲ καὶ φύσει τιθασοί· εἰσὶ δὲ ὑλαῖοι τὴν δίαιταν καὶ τὸ γένος, καὶ σιτοῦνται τῶν ὀρέων τὰ ἄγρια. Φοιτῶσι δὲ ἀθρόοι εἰς τὸ τῆς Λατάγης προάστειον, πόλις δέ ἐστιν Ἰνδῶν ἡ Λατάγη, καὶ τὴν προτεθειμένην αὐτοῖς ἐκ βασιλέως ἑφθὴν ὄρυζαν σιτοῦνται· ἀνὰ πᾶσαν δὲ ἡμέραν ἡ δαὶς αὐτοῖς εὐτρεπὴς πρόκειται· ἐμφορηθέντας δὲ ἄρα αὐτοὺς ἀναχωρεῖν αὖθις ἐς ἤθη τὰ ὑλαῖα φασι σὺν κόσμῳ, καὶ σίνεσθαι τῶν ἐν ποσὶν οὐδὲ ἕν.

12.

Ælian. N. A. XVI, 41 : Μεγασθένης φησὶ κατὰ τὴν Ἰνδικὴν σκορπίους γίνεσθαι πτερωτοὺς μεγέθει μεγίστους, τὸ κέντρον δὲ ἐγχρίπτειν τοῖς Εὐρωπαίοις παραπλησίως· γίνεσθαι δὲ καὶ ὄφεις αὐτόθι, καὶ τούτους πτηνούς· ἐπιφοιτᾶν δὲ οὐ καθ' ἡμέραν, ἀλλὰ νύκτωρ, καὶ ἀφιέναι ἐξ αὐτῶν οὖρον, ὅπερ οὖν ἐὰν κατά τινος ἀποστάξῃ σώματος, σῆψιν ἐργάζεται παραχρῆμα. Καὶ τὰ μὲν τοῦ Μεγασθένους ταῦτα.

Cf. fr. 10; Pausan. IX, 21. Bochart. Hierozoic. II, p. 423, 634 sqq.

13.

Strabo XV, p. 710 : Φησὶ γὰρ (sc. Μεγασθένης) τοὺς τὸν Καύκασον οἰκοῦντας ἐν τῷ φανερῷ γυναιξὶ μίσγεσθαι καὶ σαρκοφαγεῖν τὰ τῶν συγγενῶν σώματα· πετροκυλιστὰς δ' εἶναι κερκοπιθήκους, οἳ λίθους κατακυλίουσι κρημνοβατοῦντες ἐπὶ τοὺς διώκοντας, τά τε παρ' ἡμῖν ἥμερα ζῷα τὰ πλεῖστα παρ' ἐκείνοις ἄγρια εἶναι· ἵππους τε λέγει μονοκέρωτας ἐλαφοκράνους· καλάμους δὲ μῆκος μὲν τριάκοντα ὀργυιῶν τοὺς ὀρθίους, τοὺς δὲ χαμαικλινεῖς πεντήκοντα· πάχος δέ, ὥστε τὴν διάμετρον τοῖς μὲν εἶναι τριπήχη, τοῖς δὲ διπλασίαν.

Equos unicornos fusius describit Ælianus XVI, 20 (cujus narrationen e Megasthene haustam esse ex mentione Præsiorum regis colligitur) : Ἐν τοῖς χωρίοις τοῖς ἐν Ἰνδίᾳ, λέγω δὴ τοῖς ἐνδοτάτω, ὄρη φασὶν εἶναι δύσβατά τε καὶ ἔνθηρα· καὶ ἔχειν ζῷα ὅσα καὶ ἡ καθ' ἡμᾶς τρέφει γῆ, ἄγρια δέ· καὶ γάρ τοι καὶ τὰς ὄϊς τὰς ἐκεῖ φασιν εἶναι καὶ ταύτας θηρία, καὶ κύνας καὶ αἶγας καὶ βοῦς, αὐτόνομά τε ἀλᾶσθαι καὶ ἐλεύθερα, ἀφειμένα νομευτικῆς ἀρχῆς. Πλήθη δὲ αὐτῶν καὶ ἀριθμοῦ πλείω φασὶν οἱ τούτων συγγραφεῖς, καὶ οἱ τῶν Ἰνδῶν λόγιοι· ἐν δὴ τοῖς καὶ τοὺς Βραχμᾶνας ἀριθμεῖν ἄξιον, καὶ γάρ τοι καὶ ἐκεῖνοι ὑπὲρ τῶνδε ὁμολογοῦσι τὰ αὐτά. Λέγεται δὲ καὶ ζῷον ἐν τούτοις εἶναι μονόκερων, καὶ ὑπ' αὐτῶν ὀνομάζεσθαι καρτάζωνον· καὶ μέγεθος μὲν ἔχειν ἵππου τοῦ τελείου, καὶ λόφον, καὶ λάχνην ἔχειν ξανθήν, ποδῶν δὲ ἄριστα εἰληχέναι, καὶ εἶναι ὤκιστον, καὶ τοὺς μὲν πόδας ἀδιαρθρώτους τε καὶ ἐμφερεῖς ἐλέφαντι συμπεφυκέναι, τὴν δὲ οὐρὰν συός· μέσον δὲ τῶν ὀφρύων ἔχειν ἐκπεφυκὸς κέρας, οὐ λεῖον, ἀλλὰ ἑλιγμοὺς ἔχον τινὰς καὶ μάλα αὐτοφυεῖς, καὶ εἶναι μέλαν τὴν χρόαν· λέγεται δὲ καὶ ὀξύτατον εἶναι τὸ κέρας ἐκεῖνο· φωνὴν δὲ ἔχειν τὸ θηρίον ἀκούω τοῦτο πάντων ἀπηχεστάτην τε καὶ γεγωνοτάτην· καὶ τῶν μὲν ἄλλων αὐτῷ ζῴων προσιόντων φέρειν, καὶ πρᾶον εἶναι, λέγουσι δὲ ἄρα πρὸς τὸ ὁμόφυλον δύσεριν εἶναί πως. Καὶ οὐ μόνον φασὶ τοῖς ἄρρεσιν εἶναί τινα συμφυῆ κύριξίν τε πρὸς ἀλλήλους καὶ μάχην, ἀλλὰ καὶ πρὸς τὰς θηλείας ἔχουσι θυμὸν τὸν αὐτόν, καὶ προάγειν τε τὴν φιλονεικίαν καὶ μέχρι θανάτου ἡττηθέντα ἐξάγουσαν· ἔστι μὲν οὖν καὶ διὰ παντὸς τοῦ σώματος ῥωμαλέον, ἀλκὴ δέ οἱ τοῦ κέρατος ἄμαχός ἐστι. Νομὰς δὲ ἐρήμους ἀσπάζεται καὶ πλανᾶται μόνον· ὥρᾳ δὲ

---

maximis canibus non inferiores esse magnitudine; quinque cubitorum caudam habere; ex earum fronte comas propendere, easdemque barbam promittere; facie alba esse, corpore vero nigro; neque malitiam ceteris simiis ingenitam ostendere, sed mansuetos esse, hominumque amantissimos.

12.

Megasthenes in India scorpios alatos et magnitudine sua insignes nasci ait, et aculeis pungere similiter atque Europæos; ibidem serpentes gigni volucres, non die sed noctu infestas, quæ urinam quoque reddant; ea si in corpus alicujus destillet, statim ei afferre putredinem. Hæc Megasthenes.

13.

Tradit Megasthenes Caucasi habitatores palam cum mulieribus coire et cognatorum carnibus vesci; porro cercopithecos esse, qui per præcipitia incedentes saxa contra insequentes detrudant; animalia vero, quæ apud nos mansueta sunt, apud illos magna ex parte fera esse; equos ibi unicornos reperiri cervinis capitibus; arundines triginta ulnarum esse longitudine erectas, obliquas autem ad quinquaginta, tantaque crassitudine, ut nonnullis diameter sit trium cubitorum, quibusdam etiam duplex.

ἀφροδίτης τῆς σφετέρας συνδυασθεὶς πρὸς τὴν θήλειαν πεπράϋνται, καὶ μέντοι καὶ συννόμω ἐστόν· εἶτα ταύτης παραδραμούσης καὶ τῆς θηλείας κυούσης, ἐκθηριοῦται αὖθις, καὶ μονίας ἐστὶν ὅδε ὁ Ἰνδὸς καρτάζωνος. Τούτων οὖν πώλους πάνυ νεαροὺς κομίζεσθαί φασι τῷ τῶν Πραισίων βασιλεῖ, καὶ τὴν ἀλκὴν ἐν ἀλλήλοις ἀποδείκνυσθαι κατὰ τὰς πανηγυρικάς· τέλειον δὲ ἁλῶναί ποτε οὐδεὶς μέμνηται.

Id. c. 21 : Ὑπερελθόντι τὰ ὄρη τὰ γειτνιῶντα τοῖς Ἰνδοῖς κατὰ τὴν ἐνδοτάτην πλευρὰν φανοῦνται, φασὶν, αὐλῶνες δασύτατοι, καὶ καλεῖταί γε ὑπ' Ἰνδῶν ὁ χῶρος Κόρουδα (Κόλουνδα v. l.)· ἀλῶνται δὲ ἄρα, φασὶν, ἐν τοῖσδε τοῖς αὐλῶσι ζῷα Σατύροις ἐμφερῆ τὰς μορφὰς, τὸ πᾶν σῶμα λάσια, καὶ ἔχει κατὰ τῆς ἰξύος ἵππουριν. Καὶ καθ' ἑαυτὰ μὲν μὴ ἐνοχλούμενα διατρίβειν ἐν τοῖς δρυμοῖς ὑλοτραγοῦντα, ὅταν δὲ αἴσθωνται κυνηγετῶν κτύπου, καὶ ἀκούσωσι κυνῶν ὑλακῆς, ἀναθέουσιν εἰς τὰς ἀκρωρείας αὐτὰς ἀμηχάνῳ τῷ τάχει· καὶ γάρ εἰσι ταῖς ὀρειβασίαις ἐντριβεῖς. Καὶ ἀπομάχονται πέτρας τινὰς κυλινδοῦντες κατὰ τῶν ἐπιόντων, καὶ καταλαμβανόμενοί γε πολλοὶ διαφθείρονται. Καὶ ἐκ τούτων εἰσὶν ἐκεῖνοι δυσάλωτοι· καὶ μόλις ποτὲ καὶ διὰ μακροῦ τινὰς αὐτῶν εἰς Πραισίους κομίζεσθαι λέγουσι· καὶ τούτων μέντοι ἢ τὰ νοσοῦντα ἐκομίσθη, ἢ θήλεά τινα καὶ κυοῦντα· καὶ συνέβη γε θηραθῆναι τοῖς μὲν διὰ τὴν νωθείαν, ταῖς δὲ διὰ τὸν τῆς γαστρὸς ὄγκον. Cf. Plinius H. N. VII, 2, 17 : *Sunt et Satyri Subsolanis Indorum montibus* (*Catharcludorum* [*Caturdudorum, Cartadulorum* v. l.] *dicitur regio*), *pernicissimum animal : cum quadrupedes, tum recte currentes, humana effigie, propter velocitatem, nisi senes aut ægri, non capiuntur.* Cf. Ctesiæ fr. 57, p. 87.

14.

Plinius VIII, 14, 1 : *Megasthenes scribit in India serpentes in tantam magnitudinem adolescere, ut solidos hauriant cervos taurosque.* Cf. Solinus c. 52, 33 : *Enormitas in serpentibus tanta est ut cervos et animantium alia ad parem molem tota hauriant.* Ælian. XVI, 22 : Γίνονται δὲ ὄφεις παρ' αὐτοῖς μεγέθει μέγιστοι, ὧν οἱ μὲν ἁρπάζουσι τὰς ποίμνας καὶ σιτοῦνται, οἱ δὲ ἐκθηλάζουσι τὸ αἷμα. Conjungit hæc Ælianus cum descriptione Sciratarum populi simi. Hæc vero expresse Megastheni tribuit Plinius, ut dubium vix sit Ælianum quoque ex Megasthene hausisse. Ex eodem fonte Schwanbeckius fluxisse censet, quæ leguntur apud Ælianum XVII, 2, de avibus Indicis, psittacis, pavonibus, columbis, gallis; XVI, 3 de cercione ave; c. 4 de cela ave; c. 5 de upupa Indica, deque ejus origine fabula; c. 6 de phattage animali; c. 8 de hydris; c. 9 de mulis silvestribus (ubi iterum memoratur ὁ τῶν Πραισίων βασιλεύς); c. 11 de pœophago; c. 12 de insigni cetorum aliarumque belluarum Indiæ magnitudine; c. 13 de rajis et squillis Indicis; c. 14 de testudine Indica fluviatili et terrestri; c. 15 de solertia animalium Indicorum, præcipue de formicis (de quibus Ælianus etiam Jubam scripsisse ait); c. 16 de antro Plutonis in India sacrisque ibi peractis; c. 17 de insula Taprobane et de testudinibus maris magni; c. 18 de elephantis Taprobanæ insulæ, deque marinis circa eam belluis; c. 19 de lepore maris Indici. — Quæ omnia nos non exscribimus, etsi recte conjecisse Schwanbeckium existimamus.

15.

Ælian. N. A. VIII, 7 : Μεγασθένους ἀκούω λέγοντος περὶ τὴν τῶν Ἰνδῶν θάλατταν γίγνεσθαί τι ἰχθύδιον, καὶ τοῦτο μὲν ὅταν ζῇ, ἀθέατον εἶναι, κάτω που νηχόμενον καὶ ἐν βυθῷ, ἀποθανὸν δὲ ἀναπλεῖν· οὗ τὸν ἁψάμενον λειποθυμεῖν καὶ ἐκθνήσκειν τὰ πρῶτα, εἶτα μέντοι καὶ ἀποθνήσκειν.

« Philes c. 81, 16—21, de pisciculo illo : βραχύς τις ἰχθὺς μέλας. Unde colorem noverat ille? Num in suo libro invenerat : καὶ τοῦτο μέλαν? » JACOBS.

16.

Plinius H. N. VI, 24 : *Megasthenes flumine dividi* (*Taprobanen insulam tradit*) *incolasque palæogonos appellari, aurique margaritarumque fertiliores quam Indos.* Cf. Onesicriti fr. 21.

« Palæogonorum nomen in hunc modum explicare studuit Lassenius (Dissert. De ins. Taprobane p. 9) : *Dicamus notum fuisse Megastheni fabulam Indorum, qua primi insulæ incolæ Râxasæ s. Gigantes progenitorum mundi filii fuisse traduntur. Hos minime inepte Palæogonorum appellatione significare poterat.* Contra hanc sententiam dicere liceat, Megasthenem hac voce tam insolita et ab usu quotidiani sermonis tam remota gentis ipsum nomen indicare voluisse, non describere gentem, deinde Megasthenem solere nomina non vertere, sed ad sonum et cum paronomasia quadam reddere; postremo, Taprobanes et urbis principis nomen Παλαισιμούνδου brevi post inveniri voci Παλαιόγονοι simillimum. Itaque, quum Lassenius capitis nomen Παλαισιμούνδου sanscrite vocari *pâli-simânta* (i. e. doctrinæ sacræ caput) egregie exposuerit, Palæogonorum nomen ex voce sanscrita *pâli-g'anâs*

15.

Megasthenem audio dicentem in mari Indico quendam pisciculum nasci, eumque, quoad vivit, in profundo natantem non apparere, mortuum vero ad summam aquam fluitare; qui eum contigerit, primum animi defectu laborare, deinde autem mori.

i. e. doctrinæ sacræ homines) explicare maluerim. » *Schwanbeck*. p. 38.

17.

Antigonus Hist. Mirab. c. 147 (c. 142 Westerm.) : Μεγασθένην δὲ τὸν τὰ Ἰνδικὰ γεγραφότα ἱστορεῖν, ἐν τῇ κατὰ τὴν Ἰνδικὴν θαλάττῃ δένδρεα φύεσθαι (sc. Καλλίμαχός φησιν). Cf. Aristot. De mundo c. 4; Theophrast. Hist. Plant. IV, 7, 8.

18.

Arrianus Ind. 4, 2—13 : Αὐτοῖν δὲ τοῖν μεγίστοιν ποταμοῖν τοῦ τε Γάγγεω καὶ τοῦ Ἰνδοῦ τὸν Γάγγεα μεγέθει πολύ τι ὑπερφέρειν Μεγασθένης ἀνέγραψεν, καὶ ὅσοι ἄλλοι μνήμην τοῦ Γάγγεω ἔχουσιν· (3) αὐτόν τε γὰρ μέγαν ἀνίσχειν ἐκ τῶν πηγέων, δέχεσθαί τε ἐς αὐτὸν τόν τε Καϊνὰν ποταμόν, καὶ τὸν Ἐραννοβόαν καὶ τὸν Κοσσόανον (Κοσσόαγος sec. Plin.), πάντας πλωτούς· ἔτι δὲ Σῶνόν τε ποταμὸν καὶ Σιττόκατιν (v. l. Σιττόκεστιν) καὶ Σολόματιν, καὶ τούτους πλωτούς. (4) Ἐπὶ δὲ Κονδοχάτην τε καὶ Σάμβον καὶ Μάγωνα καὶ Ἀγόρανιν (v. l. Ἀγύρανιν) καὶ Ὦμαλιν· ἐμβάλλουσι δὲ ἐς αὐτὸν Κομμενάσης (v. l. Κομμινάσης) τε μέγας ποταμὸς καὶ Κάκουθις καὶ Ἀνδώματις ἐξ ἔθνεος Ἰνδικοῦ τοῦ Μανδιαδινῶν ῥέων· (5) καὶ ἐπὶ τούτοισιν Ἄμυστις παρὰ πόλιν Καταδούπην, καὶ Ὀξύματις (e conj. Schwanb.; Ὀξύμαγις codd.) ἐπὶ Παζάλαισι (v. l. Πασάλαις. sanscr. *Pankâla*) καλουμένοισι, καὶ Ἐρρένυσις (v. l. Ἐρρένυσις, Ἐρινέσης) ἐν Μάθαισιν, ἔθνεϊ Ἰνδικῷ, ξυμβάλλει τῷ Γάγγῃ. (6) Τούτων λέγει Μεγασθένης οὐδένα εἶναι τοῦ Μαιάνδρου ἀποδέοντα, ἵναπερ ναυσίπορος ὁ Μαίανδρος. (7) Εἶναι ὦν τὸ εὖρος τῷ Γάγγῃ, ἔνθα περ αὐτὸς ἑωϋτοῦ στεινότατος, εἰς ἑκατὸν σταδίους· πολλαχῇ δὲ καὶ λιμνάζειν, ὡς μὴ ἄποπτον εἶναι τὴν πέρην χώρην, ἵναπερ χθαμαλή τε ἐστι καὶ οὐδαμῇ γηλόφοισιν ἀνεστηκυῖα. (8) Τῷ δὲ Ἰνδῷ ἐς ταὐτὸν ἔρχεται. Ὑδραώτης μὲν ἐν Καμβισθόλοισι παρειληφὼς τόν τε Ὕφασιν ἐν Ἀστρόβαισι (v. l. Ἀστρύβαις) καὶ τὸν Σαράγγην ἐκ Κηκέων (v. l. Κηνέων, Μηκέων, sancr. *Cécaja*) καὶ τὸν Νεῦδρον ἐξ Ἀτταχηνῶν, ἐς Ἀκεσίνην ἐμβάλλουσιν. (9) Ὑδάσπης ἐν δὲ Ὀξυδράκαισιν ἄγων ἅμα οἱ τὸν Σίναρον ἐν Ἀρίσπαισι, ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ καὶ οὗτος. (10) Ὁ δὲ Ἀκεσίνης ἐν Μαλλοῖς ξυμβάλλει τῷ Ἰνδῷ· καὶ Τούταπος δὲ μέγας ποταμὸς ἐς τὸν Ἀκεσίνην ἐκδιδοῖ. Τούτων δ Ἀκεσίνης ἐμπλησθεὶς καὶ τῇ ἐπικλήσι ἐκνικήσας αὐτὸς τῷ ἑωϋτοῦ ἤδη οὐνόματι ἐσβάλλει ἐς τὸν Ἰνδόν· (11) Κωφὴν δὲ ἐν Πευκελαιήτιδι, ἅμα οἷ ἄγων Μαλάμαντον (v. l. Μάλαντον) τε καὶ Σόαστον καὶ Γαρροίαν, ἐκδιδοῖ ἐς τὸν Ἰνδόν. (12) Καθύπερθε δὲ τούτων Πάρενος (v. l. Πτάρενος) καὶ Σάπαρνος, οὐ πολὺ διέχοντες, ἐμβάλλουσιν ἐς τὸν Ἰνδόν. Σόανος δὲ, ἐκ τῆς ὀρεινῆς τῆς Ἀβισσαρέων (em. Dübner. et Lassen.; codd. Σαβίσσα ῥέων. Βησσαρέων), ἔρημος ἄλλου ποταμοῦ, ἐκδιδοῖ ἐς αὐτόν. Καὶ τούτων τοὺς πολλοὺς Μεγασθένης λέγει, ὅτι πλωτοί εἰσιν.

Idem 5, 1 : Τὸ δὲ αἴτιον ὅστις ἐθέλει φράζειν τοῦ πλήθεός τε καὶ μεγέθεος τῶν Ἰνδῶν ποταμῶν, φραζέτω· ἐμοὶ δὲ καὶ ταῦτα ὡς ἀκοὴ ἀναγεγράφθω. Ἐπεὶ καὶ ἄλλων πολλῶν ποταμῶν οὐνόματα Μεγασθένης ἀνέγραψεν, οἳ ἔξω τοῦ Γάγγεώ τε καὶ τοῦ Ἰνδοῦ ἐκδιδοῦσιν ἐς τὸν ἑῷόν τε καὶ μεσημβρινὸν τὸν ἔξω πόντον· ὥστε τοὺς πάντας ὀκτὼ καὶ πεντήκοντα λέγει ὅτι εἰσὶν Ἰνδοὶ ποταμοὶ ναυσίποροι πάντες. Ἀλλ' οὐδὲ Μεγασθένης

17.

Megasthenes, qui Indica scripsit, in mari Indico arbores nasci scribit.

18.

Ex his duobus maximis fluviis, Gange atque Indo, Megasthenes Gangem Indo longe majorem esse scribit, et alii omnes qui Gangis mentionem faciunt. (3) Nam et grandem jam inde ab ipsis fontibus oriri, atque in se recipere Cainam, Erannoboam, Cossoanum, omnes navigabiles. (4) Post hos Condochatem, Sambum, Magonem, Agoranim et Omalim. Feruntur etiam in eum Commenases grandis fluvius et Cacuthis atque Andomatis ex Mandiadinis Indica gente fluens : (5) ad hæc, Amystis juxta urbem Catadupam, et Oxymatis apud Pazalas, quos vocant, et Errhenysis apud Mathas, Indiæ gentem, in Gangem fluunt. (6) Horum omnium fluviorum Megasthenes nullum Mæandro minorem, qua navigabilis Mæander est, esse asseverat. (7) Ceterum patere Gangem, qua maxime angustus est, ad centum stadia; multis vero in locis stagnare, ita ut ulterior terra conspici non possit, qua parte humilis est nullosque colles habet. (8) Indo autem idem accidit. Hydraotes quidem in Cambistholis, receptis in se et Hyphasi in Astrybis, et Sarange ex Ceceis, et Neudro ex Attacenis, in Acesinem fluit. (9) Hydaspes vero in Oxydracis Sinarum in se recipiens, in Arispis etiam in Acesinem fertur. (10) Acesines apud Mallos cum Indo committitur : etiam Tutapus magnus fluvius in Acesinem exit. Quibus amnibus Acesines grandior factus suumque victor nomen retinens in Indum fertur. (11) Cophen in Peucelæetide, ducens secum Malamantum, Soastum et Garrhœam amnes, Indo se miscet. (12) Supra hos Parenus et Saparnus, non multum inter se distantes, in Indum fluunt. Soanus ex montanis Abissareensium absque alterius fluvii societate in eundem se ingerit. Horum quoque plerosque Megasthenes navigabiles esse affirmat.

Quisquis causam multitudinis Indiæ fluminum explicare velit, illi per me hoc integrum sit. Ego vero etiam de his rebus scripsi quæ fama sparsa sunt. Præterea etiam aliorum multorum fluminum nomina Megasthenes commemorat, quæ extra Gangem atque Indum feruntur in orientale et meridionale externum mare; ita ut quinquaginta octo in universum sint Indiæ fluvii, omnes navigabiles. Sed nec ipse Megasthenes mihi videtur multum Indiæ peragrasse : plus tamen certe quam qui cum Alexandro Philippi filio militarunt. Sandracotto enim se adfuisse scribit, maximo Indorum regi et vel Poro potentiori.

πολλὴν δοκέει μοι ἐπελθεῖν τῆς Ἰνδῶν χώρης, πλήν γε ὅτι πλεῦνα ἢ οἱ ξὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου ἐπελθόντες. Συγγενέσθαι γὰρ Σανδρακόττῳ λέγει, τῷ μεγίστῳ βασιλέϊ καὶ Πώρῳ, ἔτι τούτου μέζονι (καὶ Πώρου ἔτι τούτῳ μέζονι em. Schwanb.).

Strabo XV, p. 702 de Gange : Λέγουσιν οἱ μὲν τριάκοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν· Μεγασθένης δὲ, ὅταν ᾖ μέτριος, καὶ ἐς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ εἴκοσι ὀργυιῶν τοὐλάχιστον. Ἐπὶ δὲ συμβολῇ τούτου κτλ. Vide infra fr. 26.

Cf. Plinius VI, 21, 9 : *Flumina Prinas et Cainas* (*quod in Gangem influit*) ***ambo*** *navigabiles. Gentes Calingæ proximi mari, et supra Mandei, Malli, quorum mons Mallus, finisque ejus tractus est Ganges. Hunc alii incertis fontibus ut Nilum, rigantemque vicina eodem modo, alii in Scythicis montibus nasci dixerunt. Influere in eum XIX amnes. Ex iis navigabiles præter jam dictos Condochatem, Erannoboam, Cosoagum, Sonum. Alii cum magno fragore ipsius statim fontis erumpere, dejectumque per scopulosa et abrupta, ubi primum molles planities contingat, in quodam lacu hospitari, inde lenem fluere, ubi minimum, VIII mill. passuum latitudine, ubi modicum, stadiorum centum, altitudine nusquam minore passuum XX.* Cf. Solin. 52, 6.

Ex fluminibus undeviginti, quos in *Gangem* influere Plinius dicit, Arrianus l. l. recenset septemdecim. Quibus duodevicesimus addi potest ex Arriano 8, 5 Ἰωβάρης, vel uti rectius apud Plin. VI, 22, 6 legitur : *Jomanes*.

De singulorum nominum ratione Schwanbeckius p. 34 docet hæc : « Nominum multorum explicatio est difficillima, paucorum adhuc successit. Postquam Rennellius, Mannertus, Wilfordius in hac re explicanda industriam posuerunt, iterum fuit Schlegelii et Lassenii, nomina, quantum fieri, potuit, illustrare. Ita constant hæc nomina : Σῶνος, sanscr. *Çôna*; Ἐραννοβόας, *Hiran javâha* (i. e. χρυσοφόρος, aurifer), Çônæ cognomen; Κονδοχάτης, *Gandacavati* (i. e. ῥινοκερόεις), altera forma nominis Gandaci; Iomanes, *Iamunâ*. Κομμενάσης, *Carmanâçâ* ex sententia Rennellii et Lassenii (*Ind. Alterthumskunde* I, 130). Sed dubitationem dat id quod additur μέγας ποταμός. — Præterea explicare possum, quo nomine ab Indis appelletur Ὀξύμαγις, ἐπὶ Παζάλαις καλουμένοισι ξυμβάλλων τῷ Γάγγῃ. Jamdiu enim constat inter omnes, eam gentem, quam Megasthenes appellavit Παζᾶλαι, Plinius H. N. VI, 22, 4 *Passalæ*, Ptolemæus Πασσᾶλαι, sanscrite nuncupatam esse *Pank'âla*, et habitavisse circa Canjacubg'am in ea mesopotamia, quæ Iamunæ et Gangi interjacet. Hanc autem regionem vel potius vicinam perfluit *Ixumatî* (i. e. arundine saccharifera abundans) ita nominatus, quia regio, quæ inter Vipâçam et Gangem secundum Himâlajam extenditur, arundinis sacchariferæ est uberrima, de qua re cf. Ritterum *Asien* II, 847. Memoratur Ixumatî Harivanç. 9507, 12829, accuratius Râmâj. II. 68, 17, quo loco nuntiorum iter describitur. Nuntii, Gangem Hâstinapuræ transgressi, inde in terram Pank'âlam perveniunt : et per loca quædam adhuc ignota profecti, Culindam urbem attingunt, et transgressi Ixumatim per mediam Bâhîcarum terram ad Sudâmanem montem, deinde ad Vipâçam perveniunt. Etsi Culindarum gentem novimus inter fontes Vipâçæ et Gangis habitasse (cf. Lassen. *Zeitschr.* II, 21 seq.), tamen cui urbi Culindæ nomen fuerit nescimus. Itaque etiam hoc relinquitur in dubio, quod flumen Ixumatî appelletur : nam Iamunam id esse, vix audeo contendere. In nomine græco litteræ Γ et Τ videntur esse permutatæ, ita ut legendum sit Ὀξύματις. — Cetera, quæ de nominibus illis VV. DD. dixerunt, non excedunt opinionum auctoritatem. Inanem et memoratu non dignam aliam super aliam conjecturam protulit Forbigerus (*Alte Geographie* II, 1844). *Andomatim* (Ἀνδώματις ἐκ Μανδιαδινῶν) Lassenius egregie explicavit ex terra *madj'andina* i. e. meridionali profluere, et sanscrite nuncupari *and'amatî* (i. e. cæcus), deinde idem flumen And'amatim esse atque Tamasam (i. e. obscurus) conjecit in *Ind. Alterth.* I, 130. *Cossoanum s. Cosoagum* esse *Cauçisim*, est conjectura Wilfordii (*As. Res.* V, 272) et Schlegelii (*Ind. Biblioth.* II, 402.) Non modo propius, sed etiam accuratissime nomini Cosoagus responderet sanscritum *côs'avâha* i. e. θησαυροφόρος, quod nomen idem significaret atque hiran'javâha, Çônæque cognomen non minus aptum esset. Quam conjecturam nominis collocatio confirmat, quum vocem Cosoagus et Arrianus et Plinius inter nomina Σῶνος et Ἐραννοβόας collocaverint. Minus autem eorum sententia potest probari, qui nomine *Cainas Cênam* significari voluerunt. Primum enim, tametsi littera sanscrita *ê* ubique littera η, nusquam litteris αϊ græce redditur (cf. apud Megasthenem ipsum voces Μηρός et Mêru, Σουρασῆναι et Çûrasêna), tamen Arrianus et Plinius uno ore *Cainas* nomen pronuntiant, deinde Cêna in Iamunam, non in Gangem influit, postremo Plinii descriptio, licet de multis rebus sit obscura, haud dubie ad

Quidam minimam Gangis latitudinem triginta stadiorum dicunt, quidam trium; Megasthenes eum, ubi mediocris est, vel ad centum stadia dilatari, minimam vero profunditatem esse viginti ulnarum.

alias regiones spectat inter septentriones et orientem sitas. — Vox Ἐρέννεσις cum nomine urbis clarissimæ *Varân'asî* mire congruit, quod ex duorum fluminum nominibus compositum etiam in Indicis fluminum catalogis omnibus conjunctum legitur. Sed ne explicationi isti fides deesset, Matharum obscuritas esset illustranda, quorum nomen sanscritum esse *Mag'ada*, conjici potius quam probari potest. Neque minus est ignotum nomen Καταδούπη, cujus ultima pars ad similitudinem vocis sanscritæ *dvipa* (i. e. insula) accedit. — Ὤμαλις convenit cum consueto fluminis nomine *Vimalâ*. Cf. Hariv. 9517. »

De nominibus fluviorum, quæ in Indum se infundunt, v. Schlegel. *Ind. Bibl.* II, p. 295 sq., Lassenius in Pentapol. p. 11 sq. et in *Ind. Alterthumskunde* I, 29, 44 sqq.; Schwanbeck. l. l. p. 31 sq. Ἰνδὸς sanscrite est *Sindu; Ὑδάσπης*, *Vitasta;* Ἀκεσίνης (*Cantabra* Plinius, Σανδαβάλας Ptolem., Σανδροφάγος *Hesych.*, quod nomen Alexander in Ἀκεσίνης mutavit), *Kandrabâgâ;* Ὑδραώτης (Ὑάρωτις Strabo, Ῥούαδις Ptol.), *Irâvâti;* Ὕφασις (Ὕπανις Strabo, alii), (*Vipâçâ*); hunc fluvium in *Irâvâtim* effundi M. dicit; falso; influit *Çatadrum.* Σόανος est *Suvana;* Σαράγγης, *Çâranga.* — De reliquis parum constat. De Soasto tamen et Garœa Schwanbeck. p. 32 notat hæc : « Soastum idem flumen esse Lassenius (*Zur Gesch. d. griech. u. Indoscyth. Kœnige* p. 144) dixit atque quod Fahian Sinensis nominavit *Su pho su tu*, i. e. Çubavastu, quod nunc vocatur *Sewad.* Etsi res ipsa non dubia est, tamen quum Megasthenes et Ptolemæus uno ore flumen appellaverint Σόαστος et Σουάστος, nomen sanscritum non çubavastu esse potest, sed quod idem significat, *savastu.* — *Garœas*, Alexandri historia notus, ab Arriano Exp. IV, 25, 10 nuncupatur Γουραῖος, corruptissime in Itinerario Al. 106 *Poturæus*, et apud Strabonem p. 697 et Ptolemæum in hac regione urbs quædam Γώρυς et Γωρύα commemoratur. Nunc vocatur *Pangcova.* Sanscrita nomina horum fluviorum nondum reperta sunt, quæ nescio an insint in catalogo fluminum Mahabâratæ VI, 333, ubi deinceps enumerantur *Suvastu, Gâuri, Campanâ.* — *Tutapus*, si respexeris ad verba μέγας ποταμός, quæ addita sunt, vix aliud flumen esse videtur atque *Çatadru :* sed ignotum est nomen. » — De regionum et populorum nominibus idem Schwanbeckius affert hæc : « Πευκελαῗτις sanscrite vocatur *Puscala, Puscalavati* (Cf. Lassen. *Zeitschft. f. Kunde d. Morgenlandes*, I, p. 224; III, p. 197), apud Græcos variis nominibus : Πευκελαῶτις χώρα Arrian. Exp. IV, 22, 9; πόλις Πευκελαῶτις id. IV, 28, 10; πόλις Πευκέλα, id. Ind. 1 et ex fonte eodem Πευκολαῆτις πόλις Strabo p. 698, *Peucolaitis oppidum*, Plinius VI, 21, 7; *Peucolaitæ*, id. VI, 23, 8; ἄγρια φῦλα Πευκαλέων, Dion. Per. 1143, Ποκλαΐς, Ptolem.; Προκλαΐς, [Arrian.] Peripl. mar. Erythr. p. 21 Huds. — Κηκεῖς, *Cécajæ*, Lassen. Pentap. p. 12. — Ἀβισσαρεῖς, *Abisaræ.* Lassen. Pentap. p. 18; *Zeitschft* II, p. 50; Ritter. *Asien* II, p. 1085. Præterea nomen pronunciatur Ἀβισάρης (Ἀμβισάρης) Arr. et al., Ἐμβίσαρος Diod. XVII. 87, Ἀποσισάρης Ælian. H. A. XVI. 39, Tzetz. Chil. III. 941. — Μαλλοί, *Mâlavæ*, Lassen. *Zeitschr.* III, p. 196. Accuratius nomen scribitur Μαλοί ap. Strab. p. 701, Steph. Byz. ed. Ald. et Xyland., Arr. Diod. ed. Basil. — Ὀξύδρακαι, *Xudracæ.* Lassen. *Zeitschr.* III. 199. Ὀξύδρακαι Arr. Strab. Paus. Steph. et al., *Ozydracæ* L. Ampel., Ὑδράκαι Strab. p. 687 ex Megasthene, Ὑδαρκαι Dionys. ap. Steph Byz., Συρακοῦσαι Diod. XVII, 98, Σκύδροι (var. l. Σχύδροι, Σχόθροι, Σκύθροι) Dion. Perieg. 1142, *Sydraci* Plin. H. N. XII, 12, Sygambri. Justin. VIII, 9, 3. — *Assacenæ* obscuri sunt; Assacanos autem s. Assacenos Alexandri tempore scimus inter Indum et Guræum habitavisse. Arr. Exp. Al. IV, 25, 7, Ind. 1, Strab. p. 698, Curt. VIII, 10, 22, Itiner. Alex. 106. — *Cambistholorum* nomen sanscritum nescio an sit *Capist'ala*, i. e. simiarum regio, in quo nomine littera *M* ante litteram *B* eodem modo inserta sit, quo in nominibus Παλίμβοθρα, Ἐμβίσαρος. Enumeratur Capist'ala inter Indicas terras Varâsanh. *As. Res.* VIII. 438. Mire Vilso (Vis'n'u-Purân'. 194.) Cambistholos eosdem esse suspicatus est atque Cambôg'as, a quibus quum nomine tum situ multum absunt. »

19.

Arrianus Ind. 6, 2 : Καὶ τόδε λέγει Μεγασθένης ὑπὲρ ποταμοῦ Ἰνδικοῦ, Σίλαν μὲν εἶναί οἱ οὔνομα, ῥέειν δὲ ἀπὸ κρήνης ἐπωνύμου τῷ ποταμῷ διὰ τῆς χώρης τῆς Σιλέων, καὶ τούτων ἐπωνύμων τοῦ ποταμοῦ τε καὶ τῆς κρήνης· (3) τὸ δὲ ὕδωρ παρέχεσθαι τοιόνδε· οὐδὲν εἶναι ὅτεῳ ἀντέχει τὸ ὕδωρ, οὔτε τι νήχεσθαι ἐπ' αὐτοῦ οὔτε τι ἐπιπλέειν, ἀλλὰ πάντα γὰρ ἐς βυσσὸν δύνειν· οὕτω τι ἀμενηνότερον πάντων εἶναι τὸ ὕδωρ ἐκεῖνο καὶ ἠεροειδέστερον.

19.

Etiam hoc Megasthenes de flumine quodam Indico commemorat : Silam ei nomen esse, fluere ex fonte ejusdem cum flumine nominis per regionem Silorum, qui etiam eandem, quam fons et fluvius, appellationem habeant. (3) Ejus aquam ejusmodi esse, ut nihil omnino sustinere possit, neque quicquam ei innatare neque supernavigare, sed omnia in fundum demergi. Ita præ reliquis omnibus hanc aquam impatientem atque magis aeream esse.

In regione montana Silam fluvium esse Megasthenes tra-

Strabo XV, p. 703 : Ἐν δὲ τῇ ὀρεινῇ Σιλίαν (Σίλαν Epit. Strab.) ποταμὸν εἶναι (Megasthenes ait), ᾧ μηδὲν ἐπιπλεῖ· Δημόκριτον μὲν οὖν ἀπιστεῖν ἅτε πολλὴν τῆς Ἀσίας πεπλανημένον· καὶ Ἀριστοτέλης δὲ ἀπιστεῖ.

Cf. fr. 1, 17, ubi Σίλλα scribitur. Eadem narrantur in Boissonad. An. gr. I, p. 419. Siden (ΣίΔην pro ΣίΛην) stagnum ex Ctesia fr. 82 affert Plinius XXXI, 2. « Hanc quoque fabulam, Schwanbeckius ait p. 37, Lassenius (*Zeitschft.* II, p. 63) literis Indicis illustravit : Indi septentriones versus Çilam flumen esse putant, in quo immersa in lapides omnia vertantur : qua re sane efficitur, ut omnia mergantur, neque quidquam innatet (cf. Mahab. II, 1858). *Çila* idem valet atque lapis. »

20.

E LIBRO SECUNDO.

Strabo XV, p. 687 : Ἡμῖν δὲ τίς ἂν δικαία γένοιτο πίστις περὶ τῶν Ἰνδικῶν ἐκ τῆς τοιαύτης στρατείας τοῦ Κύρου ἢ τῆς Σεμιράμιδος (sc. contra Indos, de quibus expeditionibus narraverat Nearchus fr. 23); Συναποφαίνεται δέ πως καὶ Μεγασθένης τῷ λόγῳ τούτῳ, κελεύων ἀπιστεῖν ταῖς ἀρχαίαις περὶ Ἰνδῶν ἱστορίαις· οὔτε γὰρ παρ' Ἰνδῶν ἔξω σταλῆναί ποτε στρατιὰν, οὔτ' ἐπελθεῖν ἔξωθεν καὶ κρατῆσαι, πλὴν τῆς μεθ' Ἡρακλέους καὶ Διονύσου, καὶ τῆς νῦν μετὰ Μακεδόνων. Καίτοι Σέσωστριν μὲν τὸν Αἰγύπτιον καὶ Τεάρκωνα τὸν Αἰθίοπα ἕως Εὐρώπης προελθεῖν, Ναβοκοδρόσορον δὲ τὸν παρὰ Χαλδαίοις εὐδοκιμήσαντα, Ἡρακλέους μᾶλλον, καὶ ἕως Στηλῶν ἐλάσαι· μέχρι μὲν δὴ δεῦρο καὶ Τεάρκωνα ἀφικέσθαι· ἐκεῖνον δὲ καὶ ἐκ τῆς Ἰβηρίας εἰς τὴν Θρᾴκην καὶ τὸν Πόντον ἀγαγεῖν τὴν στρατιάν. Ἰδάνθυρσον δὲ τὸν Σκύθην ἐπιδραμεῖν τῆς Ἀσίας μέχρι Αἰγύπτου· τῆς Ἰνδικῆς δὲ μηδένα τούτων ἅψασθαι. Καὶ Σεμίραμιν δ' ἀποθανεῖν πρὸ τῆς ἐπιχειρήσεως. Πέρσας δὲ μισθοφόρους μὲν ἐκ τῆς Ἰνδικῆς μεταπέμψασθαι Ὕδρακας· ἐκεῖ δὲ μὴ στρατεῦσαι, ἀλλ' ἐγγὺς ἐλθεῖν μόνον, ἡνίκα Κῦρος ἤλαυνεν ἐπὶ Μασσαγέτας.

Καὶ τὰ περὶ Ἡρακλέους δὲ καὶ Διονύσου Μεγασθένης μὲν μετ' ὀλίγων πιστὰ ἡγεῖται· τῶν δ' ἄλλων οἱ πλείους, ὧν ἐστὶ καὶ Ἐρατοσθένης, ἄπιστα καὶ μυθώδη, καθάπερ καὶ τὰ παρὰ τοῖς Ἕλλησιν.

21.

Arrianus Ind. 5, 4 : Οὗτος ὢν ὁ Μεγασθένης λέγει, οὔτε Ἰνδοὺς ἐπιστρατεῦσαι οὐδαμοῖσιν ἀνθρώποισιν, οὔτε Ἰνδοῖσιν ἄλλους ἀνθρώπους· (5) ἀλλὰ Σέσωστριν μὲν τὸν Αἰγύπτιον, τῆς Ἀσίης καταστρεψάμενον τὴν πολλὴν, ἔστε ἐπὶ τὴν Εὐρώπην σὺν στρατιῇ ἐλάσαντα ὀπίσω ἀπονοστῆσαι· (6) Ἰνδάθυρσιν δὲ τὸν Σκύθεα ἐκ Σκυθίης ὁρμηθέντα πολλὰ μὲν τῆς Ἀσίης ἔθνεα καταστρέψασθαι, ἐπελθεῖν δὲ καὶ τὴν Αἰγυπτίων γῆν κρατέοντα· (7) Σεμίραμιν δὲ τὴν Ἀσσυρίην ἐπιχειρέειν, μὲν στέλλεσθαι εἰς Ἰνδοὺς, ἀποθανεῖν δὲ πρὶν τέλος ἐπιθεῖναι τοῖσι βουλεύμασιν· ἀλλὰ Ἀλέξανδρον γὰρ στρατεῦσαι ἐπὶ Ἰνδοὺς μοῦνον. (8) Καὶ πρὸ Ἀλεξάνδρου Διονύσου μὲν πέρι πολλὸς λόγος κατέχει, ὡς καὶ τούτου στρατεύσαντος ἐς Ἰνδοὺς, καὶ καταστρεψαμένου Ἰνδούς· Ἡρακλέος δὲ πέρι οὐ πολλός. (9) Διονύσου μέν γε καὶ Νύσσα πόλις μνῆμα οὐ φαῦλον τῆς στρατηλασίης καὶ ὁ Μηρὸς τὸ ὄρος, καὶ ὁ κισσὸς ὅτι ἐν τῷ ὄρεϊ τούτῳ φύεται· καὶ αὐτοὶ οἱ Ἰνδοὶ ὑπὸ τυμπάνων τε καὶ κυμβάλων στελλόμενοι ἐς τὰς μάχας· καὶ ἐσθὴς αὐτοῖσι κατάστικτος ἐοῦσα, καθάπερ τοῦ Διονύσου τοῖσι βάκχοισιν· (10) Ἡρακλέος δὲ οὐ πολλὰ ὑπομνήματα. Ἀλλὰ τὴν Ἄορνον γὰρ πέτρην, ἥντινα Ἀλέξανδρος βίῃ ἐχειρώσατο, ὅτι Ἡρακλέης οὐ δυνατὸς ἐγένετο ἐξελεῖν,

---

dit, cui nihil innatet; quamquam id non credat Democritus, qui bonam partem Asiæ peragraverit; sed Aristoteles quoque non credit.

E LIBRO SECUNDO.

20.

